UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1873

9. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

εἵατο πεντήκοντα ϲέλαι πυρὸϲ αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύραϲ,
ἑϲταότεϲ παρ᾽ ὄχεϲφιν, ἐύθρονον ἠῶ μίμνον.

---

# ΙΛΙΑΔΟϹ Ι.

Ὣϲ οἱ μὲν Τρῶεϲ φυλακὰϲ ἔχον· αὐτὰρ Ἀχαιοὺϲ
θεϲπεϲίη ἔχε φύζα, φόβου κρυόεντοϲ ἑταίρη,
πένθεϊ δ᾽ ἀτλήτῳ βεβολήατο πάντεϲ ἄριϲτοι.
ὡϲ δ᾽ ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
βορέηϲ καὶ ζέφυροϲ, τώ τε Θρῄκηθεν ἄητον,
ἐλθόντ᾽ ἐξαπίνηϲ· ἄμυδιϲ δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκοϲ ἔχευεν·
ὣϲ ἐδαΐζετο θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν Ἀχαιῶν.
Ἀτρείδηϲ δ᾽ ἄχεϊ μεγάλῳ βεβολημένοϲ ἦτορ
φοίτα κηρύκεϲϲι λιγυφθόγγοιϲι κελεύων
κλήδην εἰϲ ἀγορὴν κικλήϲκειν ἄνδρα ἕκαϲτον,

---

V. l. 563 εἵατο H. ϲέλαι A. ϲέλᾳ EGS Cant. Mor. Barocc. Lips. Vrat. A. ϲέλα CDL Harl. ϲέλαϲ H. — 564 ἵπποιϲι L. — 565 ἠῶ D.

A. c. 563 ϲέλαι: ϲέλαϊ δὲ γραπτέον, οὐ ϲέλαϲ Schol. BL. τὸ ἑκάϲτῳ ϲυναπτέον τῷ ϲέλαϊ, ἵν᾽ ᾖ παρ᾽ ἑκάϲτῳ ϲέλαϊ Cram. An. Par. III, 16, 34, conf. 172, 16. de scriptura ϲέλαι conf. H. T. 297.

---

V. l. 1 Ὣϲ A. τρῷεϲ L. — 2 ΘΕϹΠΕϹΙΗΙ Ambros. — 3 βεβουλήατο S. — 4 ἄνεμοι libri. — 5 βορέηϲ A Ambros. CDEHL Strabo I, 28; 29. Apoll. Lex. 12, 1. Schol. Π 765. Schol. Theocr. VII, 111. Eust. 554, 46. Rhet. Gr. III, 100, 12; 202, 27: βορέαϲ G Barocc. Mor. Βορρᾶϲ Rhet. Gr. III, 211, 4. τε: τ᾽ ἐκ Cram. Epim. 47, 3; 87, 28. — 7 πάρεξ C. παρεξ D. πάρεξον ἅλα H. ἔχευεν A Ambros. Townl. Cram. Epim. 379, 17. ἔχευε Strabo I, 53. Schol. μ 276: ἔχευαν CDEGHLS Heynii omnes praeter Townleianum. Et. Mg. 652, 47. Apoll. Lex. 165, 17. Schol. Ω 434, μ 443. — 8 ὡϲ A. ἐνι A. — 9 βεβολημένοϲ: βεβλημένοϲ GS.

A. c. 3 ὅτι ἔνιοι βεβλήατο, καὶ Ζηνόδοτοϲ οὕτωϲ Aristonicus, conf. 9. — 4 [ἡ] ἀριϲτοφάνειοϲ ἀνέμω δυϊκῶϲ Didymus. — 5 βορέηϲ primam in arsi producit, ut τό ῥα Π 228; τὰ περὶ Φ 352; ὃϲ ἔτληϲ Χ 236; τό οἱ Χ 307; διὰ Γ 357, Δ 135; ἐπεὶ Χ 379, Ψ 2. — 6 ἄμυδιϲ Aristarchus, Alexio, Ptolem. Ascalonita: ἅμυδιϲ Nicias, Pamphilus, conf. πάντ᾽ ἄμυδιϲ Μ 385, μ 413; οἵ τ᾽ ἄμυδιϲ Ν 336. — 7 παρὲξ: πάρεξ Tyrannio, conf. H. T. 333. ἔχευεν: διχῶϲ καὶ διὰ τοῦ $\overline{α}$ Didymus.

μὴ δὲ βοᾶν· αὐτὸϲ δὲ μετὰ πρώτοιϲι πονεῖτο.
ἷζον δ᾿ εἰν ἀγορῇ τετιηότεϲ· ἂν δ᾿ Ἀγαμέμνων
ἵϲτατο δάκρυ χέων ὥϲ τε κρήνη μελάνυδροϲ,
ἥ τε κατ᾿ αἰγίλιποϲ πέτρηϲ δνοφερὸν χέει ὕδωρ·
ὣϲ ὁ βαρὺ ϲτενάχων ἔπε᾿ Ἀργείοιϲι μετηύδα·
ὦ φίλοι, Ἀργείων ἡγήτορεϲ ἠδὲ μέδοντεϲ,
Ζεύϲ με μέγα Κρονίδηϲ ἄτῃ ἐνέδηϲε βαρείῃ,
ϲχέτλιοϲ, ὃϲ τότε μέν μοι ὑπέϲχετο καὶ κατένευϲεν
Ἴλιον ἐκπέρϲαντ᾿ εὐτείχεον ἀπονέεϲθαι,
νῦν δὲ κακὴν ἀπάτην βουλεύϲατο, καί με κελεύει
δυϲκλέα Ἄργοϲ ἱκέϲθαι, ἐπεὶ πολὺν ὤλεϲα λαόν.
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι,
ὃϲ δὴ πολλάων πολίων κατέλυϲε κάρηνα
ἠδ᾿ ἔτι καὶ λύϲει· τοῦ γὰρ κράτοϲ ἐϲτὶ μέγιϲτον.
ἀλλ᾿ ἄγεθ᾿, ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ·
φεύγωμεν ϲὺν νηυϲὶ φίλην ἐϲ πατρίδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήϲομεν εὐρυάγυιαν.
ὣϲ ἔφαθ᾿, οἳ δ᾿ ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ.
δὴν δ᾿ ἄνεῳ ἦϲαν τετιηότεϲ υἷεϲ Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
Ἀτρείδη, ϲοὶ πρῶτα μαχήϲομαι ἀφραδέοντι,

---

V. l. 12 μὴ δὲ CDGHL Vrat. b. c. βοᾷν G. μετα A. — 13 ἵζον CGH. ἶζον A. ἕζον δὲ ἐν Schol. I 9. τετιηκότεϲ G. ἀν ACG. — 14 δακρυχέων omnes. ὡϲ ὅτε κρήνη G. — 15 αἰγίλιποϲ A. πέτραϲ G. χέεν Et. Mg. 281, 14. — 16 ὡϲ A. ὃ ACDGL βαρυϲτενάχων CDEGHL. μετηῦδα D. — 18 μέγα: μέγαϲ S Et. Mg. 163, 48. Et. Gud. 230, 10. ἐνέδυϲε Mor. Barocc. — 19 ὃϲ πρὶν A Ambr. CDGHLS. — 21 κακὴν ἄτην C 1. man. — 22 δυϲκλέᾰ A. — 26 ἐγὼ ACDGHLS. — 28 εὐρυάγειαν L. — 29 ὡϲ A. οἳ δ᾿ D. οἵδ᾿ CH. — 30 ἄνεῳ AE bis GH Et. Gud. 48, 5: ἄνεω CDL Cram. Ep. 15, 17. τετιηκότεϲ G. — 32 μαχέϲϲομαι Pseudoplut. 149, 37.

---

A. c. 14 ὥϲ τε κρήνη μελάνυδροϲ: Zenodotus δὲ μετ᾿ Ἀργείοιϲιν ἔειπεν vel μετὰ δ᾿ Ἀργείοιϲιν ἔειπεν, omissis 15 et 16. — 17 ita Aristarchus, πρὸϲ γὰρ τοὺϲ ἀρίϲτουϲ, οὐ πρὸϲ τὸ πλῆθοϲ ὁ λόγοϲ Aristonicus, conf. Schol. B 110. — 18 ἀρίϲταρχοϲ ϲὺν τῷ ϲ̄ μέγαϲ Didymus, cf. ad B 111. — 19 ἀρίϲταρχοϲ ὃϲ τότε μέν μοι Didymus, alii πρὶν ut B 112. — 23—25 ἀθετοῦνται Aristonicus. παρὰ Ζηνοδότῳ οὐκ ἐφέροντο, καὶ ἀριϲτοφάνηϲ δὲ ἠθέτει Didymus. asterisci: ὀρθῶϲ B 116—118. — 23—31 Ζηνόδοτοϲ ἦρκε, τὴν δὲ ϲυνέπειαν οὕτωϲ ποιεῖ: „δυϲκλέα Ἄργοϲ ἱκέϲθαι [ἐπεὶ πολὺν ὤλεϲα λαόν·] ἤτοι ὅγ᾿ ὣϲ εἰπὼν κατ᾿ ἄρ᾿ ἕζετο θυμὸν ἀχεύων. τοῖϲι δ᾿ ἀνιϲτάμενοϲ μετέφη (Cod. προϲέφη) κρατερὸϲ Διομήδηϲ“ Aristonicus. — 32 ἀρίϲταρχοϲ διὰ τοῦ η̄ μαχήϲομαι Didymus.

ἢ θέμις ἐςτὶν ἄναξ ἀγορῇ· cὺ δὲ μή τι χολωθῇς.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδιcας ἐν Δαναοῖcι,
φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
ἴcαc᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
cοὶ δὲ διάνδιχα δῶκε Κρόνου πάις ἀγκυλομήτεω·
cκήπτρῳ μέν τοι δῶκε τετιμῆcθαι περὶ πάντων,
ἀλκὴν δ᾽ οὔ τοι δῶκεν, ὅ τε κράτος ἐcτὶ μέγιcτον.
δαιμόνι᾽, οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ᾽ ἔμεναι καὶ ἀνάλκιδας ὡς ἀγορεύεις;
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέccυται ὥς τε νέεcθαι,
ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάccης
ἑcτᾶc᾽, αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
ἀλλ᾽ ἄλλοι μενέουcι κάρη κομόωντες Ἀχαιοί,
εἰς ὅ κέ περ Τροίην διαπέρcομεν. εἰ δὲ καὶ αὐτοί,
φευγόντων cὺν νηυcὶ φίλην ἐς πατρίδα γαῖαν·
νῶι δ᾽, ἐγὼ Cθένελός τε, μαχηcόμεθ᾽, εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωμεν· cὺν γὰρ θεῷ εἰλήλουθμεν.
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν
μῦθον ἀγαccάμενοι Διομήδεος ἱπποδάμοιο.
τοῖcι δ᾽ ἀνιcτάμενος μετεφώνεεν ἱππότα Νέcτωρ·

---

V. l. 33 ἤ Apoll. de Adv. 559, 8 et 14. Cram. An. Par. III, 301, 17. ἠ AD Apoll. Lex. 87, 1. ἦ CGHLS ᾖ E Cram. Ep. 192, 14. Pseudoplut. 149, 37. χολώcης L. — 34 ἀκμὴν μὲν L. δαναοῖcι ACDEGH. — 35 ἔμεν᾽ EG Mor. Cant. Barocc. Mosc. 3. — 36 ἴcαcιν G. οἱ μὲν νέοι D. — 37 διάνδιχ᾽ ἔδωκε DL. παῖc libri. — 38 cκήπτρῳι (ον suprascr.) A. cκήπτρῳ (ρον suprascr.) S. cκῆπτρον Schol. Δ 3. Rhet. Gr. III, 219, 28. πέρι L. — 39 οὔ τοι: οὔτι ES Lips. 1. man. Vrat. b. c. δῶκε DH. ὅ, τε A: ὅτι GH. — 42 δέ τοι αὐτῷ AC DGHS Et. Mg. 355, 49. δέ τι (ο suprascr.) L. δέ τι E. — 43 δέ τι E. — 44 omitt. Townl. 1. man. αἵ cοι E 734, 27. ἕπονται L. — 45 ἀλλά μοι μενέουcϊ C. ἀλλ᾽ ἄλλοι μὲν μενεουcι G. κάρη κομόωντες AH: ceteri καρηκομόωντες. — 46 εἰcόκε τροίην εὔπυργον ἕλωμεν· εἰ δὲ καὶ αὐτοὶ G Mor. Barocc. — 47 cυν A. νηυcὶ φίλαις εἰc Rhet. Gr. III, 157, 12. — 48 νῶϊ δ᾽ ἐγὼ libri cum Apoll. de Pron. 23 C. Schol. Ε 219 (Herodianus), I, 77: αὐτὰρ ἐγὼ Schol. Δ 407. — 50 ὡς A. οἵδ᾽ CGL. — 52 τοῖcι δὲ καὶ μετέειπε γερήνιος A in marg.

---

A. c. 33 ἄναξ ἀγορῇ· cὺ: ἄναξ· ἀγορῇ cὺ Seleucus. — 36 οὕτως ἀρίcταρχος ἠμὲν νέοι ἠδὲ γέροντες· γράφεcθαι δὲ φηcὶ καὶ ἡγήτορες ἠδὲ μέδοντες (ita Zenodotus teste Aristonico) Didymus. — 42 δέ τοι scribendum est cum omnibus libris, neque enim ante neque post αὐτῷ opus est forma cοί, conf. Ζ 272, Ι 249, ζ 35, λ 134, 371, χ 345, H. U. 136 sqq. — 43 ἄγχι θαλάccης: nonnulli ἀμφιέλιccαι teste Aristonico. — 44 ἀθετεῖται Aristonicus.

Τυδείδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐcci,
καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριςτος·
οὔ τίς τοι τὸν μῦθον ὀνόccεται, ὅccοι Ἀχαιοί,
οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὴν καὶ νέος ἐccί, ἐμὸς δέ κε καὶ πάις εἴης
ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βαcιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγ' ἐγών, ὃς cεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι
μῦθον ἀτιμήςει, οὐδὲ κρείων Ἀγαμέμνων.
ἀφρήτωρ ἀθέμιςτος ἀνέςτιός ἐςτιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
δόρπά τ' ἐφοπλιcόμεcθα· φυλακτῆρες δὲ ἕκαςτοι
λεξάcθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
κούροιcιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα
Ἀτρείδη, cὺ μὲν ἄρχε· cὺ γὰρ βαcιλεύτατός ἐcci.
δαίνυ δαῖτα γέρουcιν· ἔοικέ τοι, οὔ τοι ἀεικές.
πλεῖαί τοι οἴνου κλιcίαι, τὸν νῆες Ἀχαιῶν
ἠμάτιαι Θρῄκηθεν ἐπ' εὐρέα πόντον ἄγουcι·
πᾶcά τοι ἔcθ' ὑποδεξίη, πολέεccι δ' ἀνάccεις.
πολλῶν δ' ἀγρομένων τῷ πείcεαι, ὅς κεν ἀρίcτην
βουλὴν βουλεύςῃ· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς

---

V. ι. 53 περὶ ACDHL Schol. ξ 212. πέρι EG. ἐνὶ CEGL. ἒν A. ἐν H. ἐγκάρτερος Schol. Vind. 133. ad ξ 212. κρατερός EGL. — 54 μετα A. ἔπλες[οι] L. — 55 οὔτίς τοι ADEH Et. Mg. 648, 21. οὔτις cοι G. ἀχαιῶν L. — 57 καὶ post κε omitt. DG. κε omitt. L. — 58 ὁπλότατος AHL: ὁπλότερος CDEGS. γρ ὁπλότερος A. γενεῆφιν ACDE. — 59 ἔειπας G. — 61 οὐδέ κε τίς ACDEGHL. — 62 ἀτιμήcει[αι] C, αι man. rec. — 64 ἐρᾶται H. ὀκριόεντος S Cant. Lips. 1. man. — 65 μὲν νῦν Townl. — 66 δόρπά τ' ACG. ἐφοπλιcόμεθα G. — 67 omitt. Townl. παρὰ: γρ. καὶ περιτάφρον A. περὶ S Cant. ἐκτός: ἐντός Barocc. Mor. — 68 κούροιcι E. — 69 ἄρχευ G. βαcιλεύτατος ἐccί DL. — 70 οὔ τοι: οὔτι CG Mor. Mosc. 3. — 72 ἠμάτιαι DH. ἄγουcι ACEGH. — 73 τοι ἔcθ' ACDGHL. cοι ἐcτὶν E. ὑποδεξείη A. — 75 βουλεύcει S Cant. Mor. Vrat. b. Schol. B 371. βουλεύcοι L. χρεὼν L.

---

A. c. 57 διὰ τοῦ ε̅ αἱ ἀριcτάρχου ἦμὲν καὶ νέος Didymus. — 66 φυλακτῆρες: Ἀρίcταρχος διὰ τοῦ α̅ φυλακτῆρας, τοὺς φύλακας Schol. LV. — 73 ὑποδεξείη Herodianus. ἀρίcταρχος πόλεcιν γὰρ ἀνάccεις Didymus.

ἐcθλῆc καὶ πυκινῆc, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουcιν πυρὰ πολλά· τίc ἂν τάδε γηθήcειε;
νὺξ δ' ἥδ' ἠὲ διαῤῥαίcει cτρατὸν ἠὲ caώcει.
ὣc ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο.
ἐκ δὲ φυλακτῆρεc cὺν τεύχεcιν ἐccεύοντο
ἀμφί τε Νεcτορίδην Θραcυμήδεα, ποιμένα λαῶν,
ἠδ' ἀμφ' Ἀcκάλαφον καὶ Ἰάλμενον, υἷαc Ἄρηοc,
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηίπυρόν τε,
ἠδ' ἀμφὶ Κρείοντοc υἱόν, Λυκομήδεα δῖον.
ἕπτ' ἔcαν ἡγεμόνεc φυλάκων, ἑκατὸν δὲ ἑκάcτῳ
κοῦροι ἅμα cτεῖχον δολίχ' ἔγχεα χερcὶν ἔχοντεc·
κὰδ δὲ μέcον τάφρου καὶ τείχεοc ἷζον ἰόντεc·
ἔνθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπα ἕκαcτοc.
Ἀτρείδηc δὲ γέρονταc ἀολλέαc ἦγεν Ἀχαιῶν
ἐc κλιcίην, παρὰ δέ cφι τίθει μενοεικέα δαῖτα.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖραc ἴαλλον.
αὐτὰρ ἐπεὶ πόcιοc καὶ ἐδητύοc ἐξ ἔρον ἕντο,
τοῖc ὁ γέρων πάμπρωτοc ὑφαίνειν ἤρχετο μῆτιν,
Νέcτωρ, οὗ καὶ πρόcθεν ἀρίcτη φαίνετο βουλή·
ὅ cφιν ἐὺ φρονέων ἀγορήcατο καὶ μετέειπεν·
Ἀτρείδη κύδιcτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν coὶ μὲν λήξω, cέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐccι ἄναξ, καί τοι Ζεὺc ἐγγυάλιξε

---

V. l. 76 πικυνῆc G. ὅτι (ε supra ι) S. — 77 καίουcι CDEG. γηθήcειε ACEGHL Schol. K 204. — 78 ἧδ' A: ceteri ἥδ'. ἠὲ caώcει ἠὲ διαῤῥαίcει cτρατόν L. — 79 ὡc A. οἵδ' CGL. ἠδὲ πίθοντο G: ceteri ἠδ' ἐπίθοντο. — 80 cυν A. τεύχεccιν DG. — 86 ἅμ' ἔcτειχον AELS Pseudoplut. 156, 23. ἅμ' ἔcτιχον CDGH. — 87 καδδὲ ACDGHL. ἵζον CG. ἶζον A. — 88 κήαντο Schol. I 77. κήαντο G. κείαντο (η supra ει) L. κείαντο ACDEH Vrat. b. A 1. man. Lips. διὰ διφθόγγου δὲ καὶ νῦν τὸ κείαντο παρὰ τοῖc παλαιοῖc ἀντιγράφοιc Eust. 737, 14. δόρπα EL: δόρπον ACDGHS. — 90 cφιν G. cφϊcϊ C. — 91 οἳ δ' D. οἵδ' CGL. — 92 ἐδυτῆοc L. ἐξέρον D. ἕντο DG. έντο L. — 95 ὅ, cφιν AC. ὅc cφιν GL. εὖ φρονέων CGHLS. ἐΰφρονέων AD. — 97 εἵνεκα L. — 98 λαῶν ἐccὶ ACDEGHL. nullus ἐccὶν. καί coι E. ἐγγυάλιξε ACGH.

---

A. c. 76 οὕτωc γρ. ὅτι δήιοι Didymus. — 78 διαῤῥαίcει: δι' ἑνὸc $\overline{\rho}$ αἱ ἀριcτάρχου Didymus. — 86 ἰακῶc τὸ cτεῖχον αἱ ἀριcτάρχου, ἅμα cτεῖχον Didymus. — 88 ἀρίcταρχοc μετὰ τοῦ $\overline{\alpha}$ δόρπα Didymus. τίθεντο δὲ δαῖτα θάλειαν Zenodotus. — 89 ἀρίcταρχοc ἀριcτέαc ἦγεν ἀχαιῶν et ἀρίcταρχοc γέρονταc ἀριcτῆαc (sic) Schol. A ex Didymo. forma ἀριcτέαc Pindarus quoque usus est Isthm. VII, 55 — 95 ὅ cφιν, non ὅc cφιν, Aristarchus.

cκῆπτρόν τ' ἠδὲ θέμιcτας, ἵνά cφιcι βουλεύῃcθα.
τῶ cε χρὴ περὶ μὲν φάcθαι ἔποc ἠδ' ἐπακοῦcαι,
κρηῆναι δὲ καὶ ἄλλῳ, ὅτ' ἄν τινα θυμὸc ἀνώγῃ
εἰπεῖν εἰc ἀγαθόν· cέο δ' ἕξεται ὅττί κεν ἄρχῃ.
αὐτὰρ ἐγὼν ἐρέω ὥc μοι δοκεῖ εἶναι ἄριcτα.
οὐ γάρ τιc νόον ἄλλοc ἀμείνονα τοῦδε νοήcει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῦ ὅτε, διογενέc, Βριcηίδα κούρην
χωομένου 'Αχιλῆοc ἔβηc κλιcίηθεν ἀπούραc
οὔ τι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἐγώ γε
πόλλ' ἀπεμυθεόμην· cὺ δὲ cῷ μεγαλήτορι θυμῷ
εἴξαc ἄνδρα φέριcτον, ὃν ἀθάνατοί περ ἔτιcαν,
ἠτίμηcαc· ἑλὼν γὰρ ἔχειc γέραc. ἀλλ' ἔτι καὶ νῦν
φραζώμεcθ', ὥc κέν μιν ἀρεccάμενοι πεπίθωμεν
δώροιcίν τ' ἀγανοῖcιν ἔπεccί τε μειλιχίοιcι.
τὸν δ' αὖτε προcέειπεν ἄναξ ἀνδρῶν 'Αγαμέμνων·
ὦ γέρον, οὔ τι ψεῦδοc ἐμὰc ἄταc κατέλεξαc.
ἀαcάμην, οὐδ' αὐτὸc ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐcτιν ἀνήρ, ὅν τε Ζεὺc κῆρι φιλήcῃ·
ὡc νῦν τοῦτον ἔτιcε, δάμαccε δὲ λαὸν 'Αχαιῶν.

---

V. l. 99 ἠδὲ: ἠὲ S. ἵνά cφιcι ACD: vulgo ἵνα cφίcι. — 100 τῶ ACGHL. τῶι D. cὲ E. πέρι EGHL. περι A. φᾶcθαι ACGHL. φάcθαι E, utrumque D. ἠδ' ἀκοῦcαι G. γρ. ἠδ' ὑποθέcθαι C man. rec. — 101 κρηιῆναι C. ὅτ' ἄν AH Schol. Ψ 305. ὅτάν CDGL. ὅταν E Cram. An. Par. III, 235, 18. θυμὸν L. ἀνώγει Vrat. b. ἀνώγοι Cram. An. Par. III, 235, 18. — 102 ὅττί A. — 104 ἄλλοc: ἄλλον CH et Harl. pro var. lect. καὶ [ἐc] ἄλλον A in marg. — 106 ἐξέτι libri. διογενὲc CE. διογενεῦc D. διογενεῦc AHLS Cant. Vrat. A. διογενοῦc G Vrat. b. γρ. δϊογενευc C man. rec. γράφεται καὶ ὅτε διογενεῦc Eust. 738, 45. — 107 ἀχιλλῆοc GH. — 109 ἀπεμυθεόμην libri: γρ. δὲ καὶ ἐπεμυθεόμην Hesych. I, 233. — 112 ἀρεccά[o]μενοι A. πεπίθωμεν D. πεπίθο[ω]ιμεν A. πεπίθοιμεν CEGHLS. — 113 δώροιcί G. μειλιχίοιcι CEGH. — 115 ψευδῶc G, est glossa, conf. Schol. A τὸ γὰρ ψεῦδοc ἀντὶ τοῦ ψευδῶc. — 116 ἀντί γε πολλῶν G. — 117 ἐcτιν AD: ceteri ἐcτὶν. φιλήcῃ ADEH: φιλήcει CG Barocc. Mor. Vrat. b. 1. man. Suidas I, 1, 478, 1. φιλήcῃ[ει] L. — 118 ἔτιcεν ὄλεccε et γρ. ἔτιcε δάμαccε δὲ λαὸν ἀχαιῶν A. δάμαcε δὲ πολὺν λαὸν ἀχαιῶν G.

---

A. c. 99 ἵνά cφιcι veteres, conf. H. T. 413. — 100 φάcθαι: φᾶcθαι, conf. H. T. 373. — 106 διογενεῦc: περιcπωμένωc ἀναγνῶμεν· cυναίρεcιν γὰρ ἔπαθε τοῦ διογενέοc Schol. AD. — 109 οὕτωc ἀρίcταρχοc ἀπεμυθεόμην Didymus. alii ἐπεμυθεόμην, conf. Apoll. Lex. 38, 7. — 112 ἀρίcταρχοc πεπίθωμεν. ἔcτι γὰρ πίθωμεν Didymus.

ἀλλ᾽ ἐπεὶ ἀαϲάμην φρεϲὶ λευγαλέῃϲι πιθήϲαϲ,
ἂψ ἐθέλω ἀρέϲαι δόμεναί τ᾽ ἀπερείϲι᾽ ἄποινα.
ὑμῖν δ᾽ ἐν πάντεϲϲι περικλυτὰ δῶρ᾽ ὀνομήνω,
ἕπτ᾽ ἀπύρουϲ τρίποδαϲ, δέκα δὲ χρυϲοῖο τάλαντα,
αἴθωναϲ δὲ λέβηταϲ ἐείκοϲι, δώδεκα δ᾽ ἵππουϲ
πηγοὺϲ ἀθλοφόρουϲ, οἳ ἀέθλια ποϲϲὶν ἄροντο.
οὔ κεν ἀλήιοϲ εἴη ἀνήρ, ᾧ τόϲϲα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυϲοῖο,
ὅϲϲά μοι ἠνείκαντο ἀέθλια μώνυχεϲ ἵπποι.
δώϲω δ᾽ ἑπτὰ γυναῖκαϲ ἀμύμονα ἔργα ἰδυίαϲ,
Λεϲβίδαϲ, ἅϲ, ὅτε Λέϲβον ἐυκτιμένην ἕλεν αὐτόϲ,
ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰϲ μέν οἱ δώϲω, μετὰ δ᾽ ἔϲϲεται ἣν τότ᾽ ἀπηύρων,
κούρη Βριϲῆοϲ· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆϲ εὐνῆϲ ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμιϲ ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέϲϲεται· εἰ δέ κεν αὖτε
ἄϲτυ μέγα Πριάμοιο θεοὶ δώωϲ᾽ ἀλαπάξαι,
νῆα ἅλιϲ χρυϲοῦ καὶ χαλκοῦ νηηϲάϲθω

V. l. 19 λευγαλέοιϲι G Cant. Mor. — 120 ἀπειρέϲι᾽ G. — 122 ἑπτ᾽᾽ A, ut 85. — 124 ἀθλοφόρουϲ A. ποϲϲὶν ἄγοντο L. ποϲὶν EG 1. man. — 127 ὅϲϲά μοι ACD 2. man. H. μοι omitt. D 1. man. ὅϲϲ᾽ ἐμοὶ L. ἠνέγκαντο GL Barocc. Mor. Cant. — 128 ἀμύμονα ACDEH. ἀμύμον᾽ G. ἀμύμοναϲ LS. * ἔργα ἰδυίαϲ: ἔργ᾽ εἰδυίαϲ ACDE(ἔργα)GH(ἔργα)L. — 129 εὐκτίμενον G. — 130 νίκων G. κάλλεϊ νίκων Mor. ἐνίκων πᾶϲαν ἐπ᾽ αἶαν D 1. man. et in marg. φῦλα γυναικῶν. — 131 μὲν οἳ D. μετα A. ἥν ποτ᾽ Eust. 741, 35. Lips. — 132 κούρη: κούρην ADE 741, 4 et 36 GH. κόρην S. ἐπὶ δὲ E: καὶ ἔπι ACL. καὶ ἐπὶ DGHS Schol. T 175. — 133 τῆϲ, εὐνῆϲ ACGH. — 134 ή AD. ἡ CGHLS. ῃ E bis, conf. 1178, 58. — 136 θεὸϲ δῴη Eust. suo more. ἐξαλαπάξαι G Mor. Vrat. b. δῶϲ᾽ ἐξαλαπάξαι Barocc. — 137 χαλκοῦ καὶ χρυϲοῦ C Harl. Vrat. c. Mosc. 3.

A. c. 119 καὶ Ἀγαμέμνων δὲ λέγει που περὶ αὐτοῦ „ἀλλ᾽ ἐπεὶ ἀαϲάμην φρεϲὶ λευγαλέῃϲι πιθήϲαϲ, ἢ οἴνῳ μεθύων, ἤ μ᾽ ἔβλαψαν θεοὶ αὐτοί“, εἰϲ τὴν αὐτὴν τιθεὶϲ πλάϲτιγγα τὴν μέθην τῇ μανίᾳ (οὕτω δὲ τὰ ἔπη ταῦτα προηνέγκατο Διοϲκουρίδηϲ ὁ Ἰϲοκράτουϲ μαθητήϲ) Athenaeus I, 11. ὡϲ δὲ καὶ Ἀγαμέμνων ἀάϲατο οἴνῳ μεθύων κατὰ τὸν Διοϲκουρίδην Eust. 1198, 27. hunc versum Eustath. 1176, 11 post T 137 collocavit. — 128 ἀρίϲταρχοϲ μετὰ τοῦ ϲ̄ ἀμύμοναϲ Didymus, conf. Schol. 270. Eust. 740, 60. fallitur Aristonicus Aristarcho ἀμύμονα tribuens cum Schol. V ἀμύμονα: οὕτωϲ Ἀρίϲταρχοϲ, Ζηνόδοτοϲ δὲ ἀμύμοναϲ. — 130 ἐξελόμην Aristarchus: Zenodotus ἐξ ἑλόμην, conf. Schol. 131, T 246. — 132 ἀρίϲταρχοϲ κούρη βριϲῆοϲ ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι Didymus, conf. Eust. 741, 36. Schol. I 274.

εἰϲελθών, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί,
Τρωιάδαϲ δὲ γυναῖκαϲ ἐείκοϲιν αὐτὸϲ ἑλέϲθω,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιϲται ἔωϲιν.
εἰ δέ κεν Ἄργοϲ ἱκοίμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρηϲ,
γαμβρόϲ κέν μοι ἔοι· τίϲω δέ μιν ἶϲον Ὀρέϲτῃ,
ὅϲ μοι τηλύγετοϲ τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖϲ δέ μοί εἰϲι θύγατρεϲ ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυϲόθεμιϲ καὶ Λαοδίκη καὶ Ἰφιάναϲϲα·
τάων ἥν κ' ἐθέληιϲι φίλην ἀνάεδνον ἀγέϲθω
πρὸϲ οἶκον Πηλῆοϲ· ἐγὼ δ' ἐπὶ μείλια δώϲω
πολλὰ μάλ', ὅϲϲ' οὔ πώ τιϲ ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ οἱ δώϲω εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεϲϲαν,
Φηράϲ τε ζαθέαϲ ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδαϲον ἀμπελόεϲϲαν.
πᾶϲαι δ' ἐγγὺϲ ἁλόϲ, νέαται Πύλου ἠμαθόεντοϲ·
ἐν δ' ἄνδρεϲ ναίουϲι πολύρρηνεϲ πολυβοῦται,
οἵ κέ ἑ δωτίνῃϲι θεὸν ὣϲ τιμήϲουϲι,

V. L. 138 κέν τε δατεώμεθα S. ἀχαιῶν H. — 139 δὲ omitt. L. — 140 αἵ τε S Cant. — 141 ἀχαιϊκὸν ADHL 2. man. Strabo VIII, 369: ἀχαϊκὸν CEGL 1. man. S. τὸ δὲ Ἀχαιϊκὸν διὰ διφθόγγου ὁ ποιητὴϲ γράφει ἐν τῇ προπαραληγούϲῃ· τὸ γὰρ διὰ τοῦ ᾱ Ἀχαϊκὸν τῶν ὑϲτέρων ἐϲτί Eust. 742, 15. — 142 ἔῃ Eust. 741, 55; 742, 26. — 143 ἐνι AD. ἐνὶ CEGL Et. Mg. 441, 54. — 144 δέ μοι εἰϲὶ ACDEGHL. θυγατέρεϲ C Lips. ἐνι AD. ἐνὶμμεγάρω C. ἐνιμμεγάρῳ S. ἐϋπήκτῳ CDEHS: εὐπήκτῳ AGL. — 145 καὶ Λαοδίκη: καὶ Ἤλεκτρα Eust. 1483, 29. — 146 κ' omitt. G. κε θέληιϲι D Townl. Vrat. b. — 147 ἐπὶ μείλια Schol. X 51. Et. Mg. 582, 31. Apoll. Lex. 110, 20. Schol. Apoll. Rhod. III, 146: ἐπιμείλια CDEG HLS. ἐπιμείλια A. — 148 μάλλ' D. ὅϲα L. — 149 εὖ ναιόμενα ACEG. εὐναιόμενα L. — 150 καρδαμίλην GL. ἰρὴν EL. ἱρὴν A. εἰ δὲ καὶ βαρύνεται ἡ πόλιϲ Ἶρα λεγομένη κατὰ πολλὰ τῶν ἀντιγράφων, οὐκ ἀνάγκη ζητεῖν Eust. 743, 20. — 152 ἔπειαν G. — 153 νέαται: κέαται H ex corr. γρ. καὶ νάεται A. — 154 ἔνθ' G Barocc. πολύρριν(οι)||||| L post ras. πολύρρηνεϲ ceteri. — 155 κέ, ἑ AH. καί ἑ L. οἳ καὶ ἓ G. ώϲ A. τιμήϲουϲι ACDEGH.

A. c. 140 ἡ διπλῆ ὅτι ἔνιοι ὑποτάϲϲουϲι „τὴν γὰρ ἀπ' αὖτιϲ ἐγὼ δώϲω ξανθῷ Μενελάῳ" Aristonicus. — 144 ἐϋπήκτῳ, conf. H. U. 85. — 147 ἐπὶ μείλια Alexio et Apollodorus: ἐπιμείλια Aristarchus, conf. Philem. Gramm. 182, 206. Eust. 742, 60. — 150 Aristarchus Ἱρὴν: alii Ἵρην. — 153 Aristarchus νέαται (ἀντὶ τοῦ νέονται): Apollonius κέαται. ὁ δὲ Νικάνωρ ὄνομά φηϲι τὸ νέαται, ὡϲ „τηλοῦ ἐπ' Ἀλφειοῦ, νεάτη Πύλου ἠμαθόεντοϲ" (Λ 712) Schol. L. — 154 διὰ τοῦ ἑτέρου ρ̄ τὸ πολύρρηνεϲ αἱ ἀριϲτάρχου Didymus. — 155 ἀρίϲταρχοϲ τιμήϲονται Didymus, conf. 297.

καί οἱ ὑπὸ cκήπτρῳ λιπαρὰc τελέουcι θέμιcταc.
ταῦτά κέ οἱ τελέcαιμι μεταλήξαντι χόλοιο.
δμηθήτω· Ἀίδηc τοι ἀμείλιχοc ἠδ᾽ ἀδάμαcτοc·
τοὔνεκα καί τε βροτοῖcι θεῶν ἔχθιcτοc ἁπάντων.
καί μοι ὑποcτήτω, ὅccον βαcιλεύτερόc εἰμι
ἠδ᾽ ὅccον γενεῇ προγενέcτεροc εὔχομαι εἶναι.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιοc ἱππότα Νέcτωρ·
Ἀτρείδη κύδιcτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν οὐκέτ᾽ ὀνοcτὰ διδοῖc Ἀχιλῆι ἄνακτι·
ἀλλ᾽ ἄγετε κλητοὺc ὀτρύνομεν, οἵ κε τάχιcτα
ἔλθωc᾽ ἐc κλιcίην Πηληιάδεω Ἀχιλῆοc.
εἰ δ᾽ ἄγε, τοὺc ἂν ἐγὼ ἐπιόψομαι, οἳ δὲ πιθέcθων.
Φοῖνιξ μὲν πρώτιcτα διίφιλοc ἡγηcάcθω,
αὐτὰρ ἔπειτ᾽ Αἴαc τε μέγαc καὶ δῖοc Ὀδυccεύc·
κηρύκων δ᾽ Ὀδίοc τε καὶ Εὐρυβάτηc ἅμ᾽ ἑπέcθων.
φέρτε δὲ χερcὶν ὕδωρ, εὐφημῆcαί τε κέλεcθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρηcόμεθ᾽, αἴ κ᾽ ἐλεήcῃ.
ὣc φάτο, τοῖcι δὲ πᾶcιν ἑαδότα μῦθον ἔειπεν.
αὐτίκα κήρυκεc μὲν ὕδωρ ἐπὶ χεῖραc ἔχευαν,
κοῦροι δὲ κρητῆραc ἐπεcτέψαντο ποτοῖο,
νώμηcαν δ᾽ ἄρα πᾶcιν ἐπαρξάμενοι δεπάεccιν.
αὐτὰρ ἐπεὶ cπεῖcάν τε πίον θ᾽ ὅcον ἤθελε θυμόc,

---

V. L. 156 ὑπο AD. — 157 καί οἱ C 1. man. DGHL Barocc. Mor. μεταλήξαντι DEGL Lips. Townl. Vrat. b. μεταλάξαντϊ H. μεταλλήξαντι AC. — 158 ἀμείλικτοc G. — 159 καί γε G. καί τι Mor. — 164 οὐκ ἔτ᾽ E. ἀχιλλῆϊ G. — 165 κλητοὺc AC post ras. DEH: κλειτοὺc C 1. man. GLS Cant. Barocc. Mor. Vrat. b. c. A. Mosc. 3. ὀτρύνωμεν D. — 166 ἀχιλλῆοc G. — 167 ἐγὼ ADGHL Et. Mg. 362, 36: ἐγὼν CE. οἳ δὲ A. οἵδε HS. τοὶ δὲ CL. γρ. οἵδε C man. rec. — 168 πρῶτα H. διῒ φίλοc ACDEGHL. — 169 ἔπειτα D. μέγαc τε G. — 170 ὀδίοc AC. ὄδιόc L. ὀδῖοc DGH. ἑπέcθω D. — 171 δὲ κέλεcθε CDL. γε κέλεcθε G. — 172 κρονίδηι [ωνι] D, ωνι man. rec. ἀρεccάμεθ᾽ H. ἐλεήcει [οι] L. — 173 ὡc A. ἑαδότα DHL. — 176 δεπάεccι D 1. man. — 177 cπείcαν τε· πίον θ᾽ L: ceteri cπεῖcαν τ᾽ ἔπιόν θ᾽ cum Athenaeo V, 180 et Schol. I 222.

---

A. C. 157 μεταλήξαντι Aristarchus, conf. Schol. 299. — 158 δμηθήτω: καμφθήτω Aristophanes cum Zenodoto. — 159 φηcὶν ὁ Ἀρίcταρχοc ὅτι ἔνιοι ὑποτάccουcι τούτῳ „οὕνεκ᾽ ἐπεί κε λάβῃcι πέλωρ ἔχει, οὐδ᾽ ἀνίηcιν“, οὐκ εἶναι δὲ ἀναγκαῖον. — 164 διδοῖc Aristarchus, ὡc ὀρθοῖc. — 167 ἀρίcταρχοc ἐγώ, ἄλλοι δὲ ἐγών Didymus. οἳ δὲ Herodianus: alii οἵδε. — 170 ἑπέcθων ἀντὶ τοῦ ἑπέcθωcαν. γρ. δὲ καὶ χωρὶc τοῦ ν̄ Schol. A. — 177 γράφεται cπεῖcάν τε πίον θ᾽ Schol. A. ita Aristarchus, conf. H. T. 424; H. U. 99.

ὡρμῶντ᾿ ἐκ κλιϲίηϲ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο.
τοῖϲι δὲ πόλλ᾿ ἐπέτελλε Γερήνιοϲ ἱππότα Νέϲτωρ,
δενδίλλων ἐϲ ἕκαϲτον, Ὀδυϲϲῆι δὲ μάλιϲτα,
πειρᾶν ὡϲ πεπίθοιεν ἀμύμονα Πηλεΐωνα.
    τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίϲβοιο θαλάϲϲηϲ
πολλὰ μάλ᾿ εὐχομένω γαιηόχῳ ἐννοϲιγαίῳ
ῥηιδίωϲ πεπιθεῖν μεγάλαϲ φρέναϲ Αἰακίδαο.
Μυρμιδόνων δ᾿ ἐπί τε κλιϲίαϲ καὶ νῆαϲ ἱκέϲθην·
τὸν δ᾿ εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
καλῇ δαιδαλέῃ, ἐπὶ δ᾿ ἀργύρεον ζυγὸν ἦεν·
τὴν ἄρετ᾿ ἐξ ἐνάρων πόλιν Ἠετίωνοϲ ὀλέϲϲαϲ·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ᾿ ἄρα κλέα ἀνδρῶν.
Πάτροκλοϲ δέ οἱ οἶοϲ ἐναντίοϲ ἧϲτο ϲιωπῇ,
δέγμενοϲ Αἰακίδην, ὁπότε λήξειεν ἀείδων.
τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖοϲ Ὀδυϲϲεύϲ,
ϲτὰν δὲ πρόϲθ᾿ αὐτοῖο· ταφὼν δ᾿ ἀνόρουϲεν Ἀχιλλεὺϲ
αὐτῇ ϲὺν φόρμιγγι, λιπὼν ἕδοϲ ἔνθα θάαϲϲεν.
ὣϲ δ᾿ αὔτωϲ Πάτροκλοϲ, ἐπεὶ ἴδε φῶταϲ, ἀνέϲτη.
τὼ καὶ δεικνύμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
    χαίρετον· ἦ φίλοι ἄνδρεϲ ἱκάνετον, ἦ τι μάλα χρεώ,
οἵ μοι ϲκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐϲτον.
    ὣϲ ἄρα φωνήϲαϲ προτέρω ἄγε δῖοϲ Ἀχιλλεύϲ.

---

V. l. 180 ὀδυϲῆϊ D. — 181 πειρᾷν G. πεπείθοιεν D. — 182 τώδε H. πολυφλοίϲβοιο A. — 183 εὐχομένωι D. ἐνοϲιγαίῳ G. — 184 αἰγιόχοιο D. (ακίδαο) — 185 μυρμηδόνων G. ἵκοντο CG Barocc. Mor. Harl. Townl. γρ. ἵκοντο A. — 187 καλλῆι L. ἐπι D. ἀργύρεοϲ ζυγὸϲ E Schol. B 293: ceteri ἀργύρεον ζυγὸν cum Plut. de Musica 40. Et. Mg. 412, 7. Et. Gud. 474, 38. Zonar. Lex. 961. περὶ δ᾿ Plutarchus l. l. ἐπί τ᾿ Schol. B 293. — 188 ολέϲαϲ G. — 190 ἐναντίον S Townl. — 191 δέγμενοϲ: γρ. καὶ δέχμενοϲ (Cod. δεχόμενοϲ) διὰ τοῦ χ̄. ὁπόταν S. ἀείδειν H. — 192 τώδε H. — 193 ϲτᾶν H. ἀχιλεύϲ C. — 194 θάηϲκεν S. θάαϲκεν Vrat. b. man. rec. ἔνθα κάθητο G Mor. Barocc. e glossa conf. Apoll. Lex. 85, 26 θάαϲϲεν: ἐκάθητο. Et. Mg. 441, 4. — 195 ὡϲ A. αὔτωϲ EGHL. αυτωϲ A. — 196 τὼ: γρ. καὶ τοὺϲ A. — 197 ὦ φίλοι L. — 198 παρ᾿ ἀχαιῶν L Schol. A 138. φιλτάτω AG Mor. φέρτεροί Bekk. An. 1144. — 199 ὡϲ A. ἀχϊλεύϲ C.

---

A. c. 184 πεπιθεῖν: περιϲπαϲτέον Herodianus. — 191 δέγμενοϲ: δέχμενοϲ, conf. ad Θ 296. — 192 δίχα τοῦ ῑ δὲ τὸ προτέρω Schol. V, conf. H. U. 186. — 197 παρμενίϲκοϲ προφέρεται (sc. ὡϲ Ἀριϲτάρχειον) ἱκάνετον ἡμέτερον δὲ Didymus. — 198 καὶ ἐνθάδε τινὲϲ δυϊκῶϲ φιλτάτω Schol. A.

εἷσεν δ' ἐν κλισμοῖσι τάπησί τε πορφυρέοισιν·
αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα·
μείζονα δὴ κρητῆρα Μενοιτίου υἱὲ καθίστα·
ζωρότερον δὲ κέραιε, δέπας δ' ἔντυνον ἑκάστῳ·
οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.
ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
αὐτὰρ ὅ γε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄιος καὶ πίονος αἰγός,
ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
καὶ τὰ μὲν εὖ μίστυλλε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε,
πῦρ δὲ Μενοιτιάδης δαῖεν μέγα, ἰσόθεος φώς.
αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσε,
πάσσε δ' ἁλὸς θείοιο κρατευτάων ἐπαείρας.
αὐτὰρ ἐπεί ῥ' ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔχευε,
Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν, ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο
τοίχου τοῦ ἑτέροιο, θεοῖσι δὲ θῦσαι ἀνώγει

---

V. L. 200 εἷσε G. κλεισμοῖσι A. πορφυρέοισι A. — 202 δὲ: τε ES Cant. κέραιε AD 1. man. EGL Lips. Mor. Townl. Aristot. Poet. 25. Schol. O 317: κέραιρε CD ex corr. HS Et. Mg. 414, 30; 504, 36. Athenaeus X, 423, conf. I, 10. utrumque Eust. 1398, 1. ἰστέον δὲ ὅτι τῶν τινὰ ἀντιγράφων τὸ κέραιε κέραιρε φασὶν, ὀλίγα μέντοι καὶ οὐδὲ τὰ ἀκριβέστερα Eust. 746, 48. — 204 οἳ L. ὑπέασι: ὑπίασι Mor. Barocc. — 205 ὥς A. φᾶτο D 2. man. — 206 ὃ κρεῖον C. κάμβαλεν HS Apoll. Lex. 103, 35. — 209 ἔσχεν H. τάμνε EG Schol. Π 747. τέμνεν L. ἀχῖλεύς C. — 210 ἔπειρε ACEG. — 211 δαῖε E. — 212 κατα HL. — 213 ἀθρακιὴν H. ἐφύπερθεν L. ἐφ' ὕπερθε C. ἐφύπερθ' ἐτάνυσσε Townl. τάνυσσε AC DEH. τάνυσε G. — 214 πάσσε δ' ἄρ' ἁλὸς H. — 215 εἰς ἐλεοῖσιν L. ἐλεοῖσιν G Et. Mg. 298, 35. εἰλέοισιν S. ἔχευεν ADGH Apoll. Lex. 66, 9. ἔχευε CS. ἔχευαν Et. Mg. 298, 35. ἔθηκεν L Athenaeus IV, 173. ἔθηκεν ἢ ἔχευε Eust. ἐν ἄλλῳ ἔθηκεν A. — 217 αὐτὰρ G. ἀχῖλεύς C. — 218 ἀντίος L. ἷζεν C. — 219 θεοῖσι δὲ et θεοῖς ἰδὲ Eust. 749, 23.

---

A. c. 203 οὕτως κέραιε χωρὶς τοῦ ρ̄ (sc. Aristarchus). μέμνηται καὶ ἡρωδιανός Schol. A. κέραιε δίχα τοῦ ρ̄ Ἀριστοφάνης (corrige Ἀρίσταρχος) Schol. L. — 210 διὰ τοῦ ἑτέρου λ̄ τὸ μίστυλε Schol. LV, conf. H. T. 389. — 212 ut hic Aristarchus. ἔν τισι γράφεται „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ Schol. A. μεταγράφουσιν οὕτως „αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο παύσατο δὲ φλόξ Eust. 748, 41. ἔνιοι δὲ γράφουσιν „αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐμαρήνατο, παύσατο δὲ φλόξ Schol. LV. — 214 ἐπαείρας: ἀρίσταρχος ἀπαείρας, ἀπὸ τῶν κρατευτάων ἄρας Didymus.

Πάτροκλον, ὃν ἑταῖρον· ὃ δ' ἐν πυρὶ βάλλε θυηλάϲ.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖραϲ ἴαλλον.
αὐτὰρ ἐπεὶ πόϲιοϲ καὶ ἐδητύοϲ ἐξ ἔρον ἕντο,
νεῦϲ' Αἴαϲ Φοίνικι. νόηϲε δὲ δῖοϲ Ὀδυϲϲεύϲ,
πληϲάμενοϲ δ' οἴνοιο δέπαϲ δείδεκτ' Ἀχιλῆα·
χαῖρ' Ἀχιλεῦ· δαιτὸϲ μὲν ἐίϲηϲ οὐκ ἐπιδευεῖϲ
ἠμὲν ἐνὶ κλιϲίῃ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο
ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
δαίνυϲθ'· ἀλλ' οὐ δαιτὸϲ ἐπηράτου ἔργα μέμηλεν,
ἀλλὰ λίην μέγα πῆμα διοτρεφὲϲ εἰϲορόωντεϲ
δείδιμεν· ἐν δοιῇ δὲ ϲαωϲέμεν ἢ ἀπολέϲθαι
νῆαϲ ἐϋϲϲέλμουϲ, εἰ μὴ ϲύ γε δύϲεαι ἀλκήν.
ἐγγὺϲ γὰρ νηῶν καὶ τείχεοϲ αὖλιν ἔθεντο
Τρῶεϲ ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
κηάμενοι πυρὰ πολλὰ κατὰ ϲτρατόν, οὐδ' ἔτι φαϲὶ
ϲχήϲεϲθ', ἀλλ' ἐν νηυϲὶ μελαίνῃϲιν πεϲέεϲθαι.
Ζεὺϲ δέ ϲφι Κρονίδηϲ ἐνδέξια ϲήματα φαίνων
ἀϲτράπτει· Ἕκτωρ δὲ μέγα ϲθένεϊ βλεμεαίνων
μαίνεται ἐκπάγλωϲ, πίϲυνοϲ Διί, οὐδέ τι τίει
ἀνέραϲ οὐδὲ θεούϲ· κρατερὴ δέ ἑ λύϲϲα δέδυκεν.

---

V. ʟ. 220 ὃ δ' D. ὅδ' CGL. βάλε C. — 221 omitt. D in textu, habet in marg. man. rec. οἵδ' CGHL. — 222 ἕντο GH. ἕντο DL. — 224 δ' omitt. Schol. Δ 4. ἀχῑλῆϊ H. post hunc S τόνδε (em. τὸν καὶ) φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα. H καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα. — 225 ἀχιλλεῦ GH. ἐΐϲϲηϲ G. ἐπιδευῆϲ A et γρ. εἶϲ. — 226 ἠμὲν: εἰμὲν Eust. diserte. ἐνι AD. — 229 διοτροφὲϲ H. – 230 ἀπολέϲθαι (ϲϲ superscr.) L. — 231 ἐϋϲέλμουϲ CDEGH. — 232 αὔλην G. — 233 τρῷεϲ L. τηλέκλητοί HL. τηλεκλητοί (ει superscr.) C. — 234 κηάμενοι E 749, 43: κηάμενοι GL. κειάμενοι AC DE 36, 13; 750, 15 H Lips. Townl. Et. Mg. 485, 12. Schol. K 418, ξ 425. κατα A. οὐδ' ἔτι AC: οὐδέ τι DEGHLS. φαϲὶ ACDE. φαϲὶ omitt. H. — 235 ϲχήϲεϲθαι DG. μελαίνηϲι DEGHL. — 236 ϲφι D: ϲφιν ACGHLS. — 238 πιϲινὸϲ G. — 239 ἓ G.

---

A. c. 220 θυηλάϲ Herodianus, ὀξυτόνωϲ. — 222 ἐξ ἔρον ἕντο: ἄμεινον εἶχεν ἄν, φηϲὶν ὁ Ἀρίϲταρχοϲ, εἰ ἐγέγραπτο „ἆψ ἐπάϲαντο“. ἀλλ' ὅμωϲ ὑπὸ περιττῆϲ εὐλαβείαϲ οὐδὲν μετέθηκεν, ἐν πολλοῖϲ οὕτωϲ εὑρὼν φερομένην τὴν γραφήν Didymus. — 225 ἐπιδευεῖϲ: Ἀρίϲταρχοϲ δὲ χωρὶϲ τοῦ ϲ̄ Didymus (ἐπιδεύει vel potius ἐπιδεύῃ). nonnulli ἐπιδευεῖϲ et ἦμεν pro ἠμὲν teste Aristonico. — 230 ϲαωϲέμεν, conf. Schol. Ι 681. Bekk. 2. ex coni. ϲόαϲ ἔμεν, coll. [A 117,] Θ 246, O 502. — 236 ϲφι (Aristarchus?): ϲφιν, conf. Schol. V τὸ δὲ ϲφι δίχα τοῦ ν̄, H. T. 392; H. U. 24; Δ 166, Λ 734, N 713, ξ 86, ο 524. Aristarchus ἐνδέξια: ἐν δεξιᾷ Ptolem. Ascalonita, conf. Schol. H 184, ρ 365.

ἀρᾶται δὲ τάχιϲτα φανήμεναι ἠῶ δῖαν·
ϲτεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα
αὐτάϲ τ᾽ ἐμπρήϲειν μαλεροῦ πυρόϲ, αὐτὰρ Ἀχαιοὺϲ
δῃώϲειν παρὰ τῇϲιν ὀρινομένουϲ ὑπὸ καπνοῦ.
ταῦτ᾽ αἰνῶϲ δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰϲ
ἐκτελέϲωϲι θεοί, ἡμῖν δὲ δὴ αἴϲιμον εἴη
φθίϲθαι ἐνὶ Τροίῃ ἑκὰϲ Ἄργεοϲ ἱπποβότοιο.
ἀλλ᾽ ἄνα, εἰ μέμονάϲ γε καὶ ὀψέ περ υἷαϲ Ἀχαιῶν
τειρομένουϲ ἐρύεϲθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
αὐτῷ τοι μετόπιϲθ᾽ ἄχοϲ ἔϲϲεται, οὐδέ τι μῆχοϲ
ῥεχθέντοϲ κακοῦ ἐϲτ᾽ ἄκοϲ εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
φράζευ ὅπωϲ Δαναοῖϲιν ἀλεξήϲειϲ κακὸν ἦμαρ.
ὦ πέπον, ἦ μὲν ϲοί γε πατὴρ ἐπετέλλετο Πηλεὺϲ
ἤματι τῷ, ὅτε ϲ᾽ ἐκ Φθίηϲ Ἀγαμέμνονι πέμπε·
τέκνον ἐμόν, κάρτοϲ μὲν Ἀθηναίη τε καὶ Ἥρη
δώϲουϲ᾽ αἴ κ᾽ ἐθέλωϲι, ϲὺ δὲ μεγαλήτορα θυμὸν
ἴϲχειν ἐν ϲτήθεϲϲι· φιλοφροϲύνη γὰρ ἀμείνων·
ληγέμεναι δ᾽ ἔριδοϲ κακομηχάνου, ὄφρά ϲε μᾶλλον
τίωϲ᾽ Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντεϲ.
ὣϲ ἐπέτελλ᾽ ὁ γέρων, ϲὺ δὲ λήθεαι. ἀλλ᾽ ἔτι καὶ νῦν
παύε᾽, ἔα δὲ χόλον θυμαλγέα· ϲοὶ δ᾽ Ἀγαμέμνων

---

ῶ ϊ
V. L. 241 κόψειν L, omisso ἀπο. — 242 μαλεροῦ πυρὸϲ S. — 243 δηϊώϲειν C Townl. δηιῶϲιν D. ὀρυνομένουϲ G. ἀτυζομένουϲ ἢ ὀρινομένουϲ E. ὑπο A. καπνῷ E. — 244 δέδοικα H. κατα AD. φρέναϲ DL. — 245 libri εἴη, non εἴῃ. — 246 φθίϲθαι ACE 749, 52: φθεῖϲθαι DE 750, 44 G. φθέϲθαι H. φθίϲϲεϲθ᾽ ἐν τροίηι L, φθίϲεϲθ 1. man. ἐνι D. ἱπποβάτοιο H. — 248 ὑπὸ: ὑπ᾽ ἐκ Vrat. b. 2. man. ὀρυγμαδοῦ GH. ὀρυ|||μαδοῦ C post ras. — 249 αὐτῷ τοι ACDE bis GHLS Apoll. de Pron. 147 C; de Synt. 138, 7. Eust. 769, 51. μῆχοϲ: μῆχαρ Schol. Pind. Ol. II, 31. — 250 τε κακοῦ ἄκοϲ εὑρεῖν S Cant. κακοῦ οὔτ᾽ ἄκοϲ Schol. Pind. Ol. II, 31.

η
πολλὺ G. — 251 ἀλεξήϲῃϲ AE bis GS Mor. Cant. ἀλεξήϲειϲ L. ἀλεξήϲαιϲ H. ἦμαρ DG. — 252 ὦ πόποι Vrat. A. ἐπετέλετο D. — 253 ἤματι DG. πέμπε ACDEGH. — 254 κράτοϲ EL. — 255 αἴ κε θέλωϲι DGL Townl. δὲ ϲὸν μεγαλήτορα H. — 256 ἐνὶ GL. ἐνι D. ϲτήθεϲφιν L. — 257 ὄφρά ϲε C. — 258 τίωϲ᾽ ACDEGHLS Cant. Mor. Harl. Vrat. b. c. A. Mosc. 3. ἠμὲν: οἱ μὲν D Vrat. b. 1. man. — 259 ὡϲ A. λήθε᾽ L. — 260 παύεο
ο ου
DGE Mor. Barocc. παύε᾽ A. παῦε Lips. παῦε HL.

---

A. c. 242 ἐμπρήϲειν: ἀρίϲταρχοϲ ἐμπλήϲειν Didymus. — 246 φθίϲθαι: φθεῖϲθαι, conf. H. T. 375. — 249 αὐτῷ τοι scribendum est cum Apollonio, ut χ 345, conf. H. U. 142.

ἄξια δῶρα δίδωϲι μεταλήξαντι χόλοιο.
εἰ δέ, ϲὺ μέν μευ ἄκουϲον, ἐγὼ δέ κέ τοι καταλέξω,
ὅϲϲά τοι ἐν κλιϲίῃϲιν ὑπέϲχετο δῶρ' Ἀγαμέμνων,
ἕπτ' ἀπύρουϲ τρίποδαϲ, δέκα δὲ χρυϲοῖο τάλαντα,
αἴθωναϲ δὲ λέβηταϲ ἐείκοϲι, δώδεκα δ' ἵππουϲ
πηγοὺϲ ἀθλοφόρουϲ, οἳ ἀέθλια ποϲϲὶν ἄροντο.
οὔ κεν ἀλήιοϲ εἴη ἀνήρ, ᾧ τόϲϲα γένοιτο,
οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυϲοῖο,
ὅϲϲ' Ἀγαμέμνονοϲ ἵπποι ἀέθλια ποϲϲὶν ἄροντο.
δώϲει δ' ἑπτὰ γυναῖκαϲ ἀμύμονα ἔργα ἰδυίαϲ,
Λεϲβίδαϲ, ἅϲ, ὅτε Λέϲβον ἐυκτιμένην ἕλεϲ αὐτόϲ,
ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
τὰϲ μέν τοι δώϲει, μετὰ δ' ἔϲϲεται ἣν τότ' ἀπηύρα,
κούρη Βριϲῆοϲ· ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται
μή ποτε τῆϲ εὐνῆϲ ἐπιβήμεναι ἠδὲ μιγῆναι,
ἣ θέμιϲ ἐϲτὶν ἄναξ ἤτ' ἀνδρῶν ἤτε γυναικῶν.
ταῦτα μὲν αὐτίκα πάντα παρέϲϲεται· εἰ δέ κεν αὖτε
ἄϲτυ μέγα Πριάμοιο θεοὶ δώωϲ' ἀλαπάξαι,
νῆα ἅλιϲ χρυϲοῦ καὶ χαλκοῦ νηήϲαϲθαι
εἰϲελθών, ὅτε κεν δατεώμεθα ληίδ' Ἀχαιοί,
Τρωιάδαϲ δὲ γυναῖκαϲ ἐείκοϲιν αὐτὸϲ ἑλέϲθαι,
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλιϲται ἔωϲιν.
εἰ δέ κεν Ἄργοϲ ἱκοίμεθ' Ἀχαιικόν, οὖθαρ ἀρούρηϲ,
γαμβρόϲ κέν οἱ ἔοιϲ· τίϲει δέ ϲε ἶϲον Ὀρέϲτῃ,

V. l. 261 μεταλλήξαντι ACEGH: μεταλήξαντι DL. Vrat. b. Townl. — 262 δέ κε τοι A. — 263 ὅϲϲά τοι CDH. ἐν: ἐνῖ C. ὑπέϲχατο C. — 264 ἑπτ'' A. ἑπτὰ G. — 265 ἐείκοϲιν G. — 266 ἀθλοφόρουϲ A. — 267—269 omitt. Townl. — 267 ἀμύμοναϲ AC suprascr. man. rec. DHLS. ἔργ' εἰδυίαϲ ACDG(ἔργα)HL. — 271 εὐκτίμενον G. ἕλεν L. — 272 ἐξέλεθ' A. φύλα D. — 273 μετα A. ἀπηῦρα D. ἀπηῦρεν G ex corr. L. ἀπηῦρε S Townl. ἀπηύρων Mosc. 3. — 274 κούρην CDGHS. καὶ ἐπὶ AGHLS. καὶ ἐπι CD. — 275 τῆϲ, εὐνῆϲ G. ἐπιβῆναι Vrat. b. — 276 ή A Schol. Θ 111. η D. ἧ Lips. Townl. ἥ CGHLS. ἦτ' ἀνδρῶν ἤτε C. καὶ ἀνδρῶν G. ἤτ' omitt. L. — 278 ἀλαπᾶξαι D. — 281 ἑλέϲθω Cant. Lips. Mosc. 3. — 283 ἀχαϊκόν GL 1. man. S. εἶθαρ D. 1. man. — 284 ἕηϲ S. ἕῃϲ Cant. τίϲοι H. ἴϲον D.

A. c. 270 ἀμύμονα: οὕτωϲ ἀρίϲταρχοϲ μετὰ τοῦ ϲ̄ ἀμύμοναϲ Didymus, conf. 128. — 272 ἐξ ἕλεθ' Zenodotus, conf. 130. — 274 ἀρίϲταρχοϲ γράφει κούρη (Cod. κουρηϲ) βριϲῆοϲ (Cod. βρηϲηοῦϲ) ἐπὶ δὲ μέγαν ὅρκον Didymus, conf. 132. — 276 ἣ θέμιϲ, conf. H. U. 183. — 279 νηήϲαϲθαι Aristarchus.

ὅϲ οἱ τηλύγετοϲ τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖϲ δέ οἵ εἰϲι θύγατρεϲ ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυϲόθεμιϲ καὶ Λαοδίκη καὶ Ἰφιάναϲϲα·
τάων ἥν κ' ἐθέλῃϲθα φίλην ἀνάεδνον ἄγεϲθαι
πρὸϲ οἶκον Πηλῆοϲ· ὃ δ' αὖτ' ἐπὶ μείλια δώϲει
πολλὰ μάλ', ὅϲϲ' οὔ πώ τιϲ ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ τοι δώϲει εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεϲϲαν,
Φηράϲ τε ζαθέαϲ ἠδ' Ἄνθειαν βαθύλειμον,
καλήν τ' Αἴπειαν καὶ Πήδαϲον ἀμπελόεϲϲαν.
πᾶϲαι δ' ἐγγὺϲ ἁλόϲ, νέαται Πύλου ἠμαθόεντοϲ·
ἐν δ' ἄνδρεϲ ναίουϲι πολύρηνεϲ πολυβοῦται,
οἵ κέ ϲε δωτίνῃϲι θεὸν ὣϲ τιμήϲουϲι,
καί τοι ὑπὸ ϲκήπτρῳ λιπαρὰϲ τελέουϲι θέμιϲταϲ.
ταῦτά κέ τοι τελέϲειε μεταλήξαντι χόλοιο.
εἰ δέ τοι Ἀτρείδηϲ μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
αὐτὸϲ καὶ τοῦ δῶρα, ϲὺ δ' ἄλλουϲ περ Παναχαιοὺϲ
τειρομένουϲ ἐλέαιρε κατὰ ϲτρατόν, οἵ ϲε θεὸν ὣϲ
τίϲουϲ'· ἦ γάρ κέ ϲφι μάλα μέγα κῦδοϲ ἄροιο.
νῦν γάρ χ' Ἕκτορ' ἕλοιϲ, ἐπεὶ ἂν μάλα τοι ϲχεδὸν ἔλθοι
λύϲϲαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φηϲιν ὁμοῖον
οἷ ἔμεναι Δαναῶν, οὓϲ ἐνθάδε νῆεϲ ἔνεικαν.

---

V. L. 285 ἐνι AD. ἐνὶ CGHL. — 286 δέ οἱ εἰϲι ADL. δέ οἱ εἰϲὶν C. θυγατέρεϲ CGH. ἐνὶμμεγάρωι C. ἐνι AD. ἐϋπήκτῳ CDHLS. εὐπήκτῳ AG. — 289 ὃ δ' D. ὅδ' CGH. ἠδ' L. ἐπιμείλια ACDGHLS. — 291 δέ οἱ δώϲει H Townl. εὖ, ναιόμενα A. εὖ ναιόμενα CG. εὐ‿ναιόμενα L. — 292 καρδαμίλην L. ἰρὴν L. ἴρὴν A. — 294 ἔπειαν G. — 295 κέαται H, ut videtur ex corr. ναίεται Barocc. — 296 ναίουϲιν H. πολύ‿ρρηνεϲ A. πολύρηνεϲ Townl. πολύῤῥιν(οι)||| L, ut 154. — 297 ὡϲ AD. τιμήϲουϲι CDGH. τιμήϲωϲι A. — 298 ὑπο AH. — 299 καί τοι D. μεταλήξαντι DGL Townl. — 301 αὐτὸϲ τε καὶ L. πανα‿χαιοὺϲ AC. — 302 κατα ADH. ὡϲ A. — 303 τίϲουϲιν ἦ καί ϲφι G. καί ϲφι Cant. — 304 ἔλθοι ADGH Mor. Barocc. Townl. Vrat. b. ἔλθῃ CEL. — 305 ἔχοντ' HL. οὔτινα φηϲὶν ACDGHL. — 306 οἱ G. ἔμμεναι E, idem Townl. omisso οἷ.

---

A. c. 289 Aristarchus ἐπιμείλια, conf. 147. — 292 Ἱρὴν Herodianus cum Aristarcho, conf. 150. — 296 πολύρηνεϲ Aristarchus, conf. 154. — 297 Aristarchus τιμήϲονται, conf. 155, non τιμήϲωνται ut in Cod. A scriptum est τιμήϲωνται ὡϲ ἐλεύϲωνται, nam ἐλεύϲωνται nihil est. — 299 διὰ τοῦ ἑτέρου λ̄ μεταλλήξαντι αἱ ἀριϲτάρχου Didymus. recte Bekkerus τὸ ante μεταλλήξαντι inseruit.

τὸν δ' ἀπαμειβόμενος προςέφη πόδας ὠκὺς Ἀχιλλεύς·
διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυςςεῦ,
χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
ᾗ περ δὴ φρονέω τε καὶ ὡς τετελεςμένον ἔςται,
ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃςιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεςίν, ἄλλο δὲ εἴπῃ.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριςτα·
οὔτ' ἐμέ γ' Ἀτρεΐδην Ἀγαμέμνονα πειςέμεν οἴω
οὔτ' ἄλλους Δαναούς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρναςθαι δηΐοιςιν ἐπ' ἀνδράςι νωλεμὲς αἰεί.
ἴςη μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐςθλός·
κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.
οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ,
αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
ὡς δ' ὄρνις ἀπτῆςι νεοςςοῖςι προφέρῃςι

---

V. l. 309 δὴ omitt. D. ἀποειπεῖν C. — 310 φρονέω GH Lips.: κρανέω ACDL Harl. Townl. Vrat. b. Cram. Epim. 192, 24. An. Par. III, 301, 27. κρανέω ἢ φρονέω, διχῶς γὰρ γράφεται Eust. 751, 5. γρ. φρονέω C 2. man. ὥςπερ δὴ κρανέω τε καὶ ὡς τελέεςθαι ὀΐω Plato Hipp. min. 365 A. ἔςται: ἐςτί D. — 311 τρύζοιτε E. τροίζητε D. παρήμενος A Townl. γρ. παρήμενοι A. — 312 μοι ἐκεῖνος G. — 313 κεύθει EGS Mor. Barocc. Vrat. b. A. Mosc. 3. Schol. α 1. Suidas I, 1, 236, 18; I, 2, 571, 6. κεύφῃ H. εἴπῃ libri cum Plat. Hipp. min. 365 A; 370 A. Schol. A 120, α 1. Bekk. Anecd. 82, 2; 379, 12. Bachm. Anecd. I, 70, 14: βάζει Eust., unde Bothius βάζῃ recepit. — 314 ἐρέω ὡς καὶ τετελεςμένον ἔςται CGL Mor. Barocc. Harl. Lips. Townl. Vrat. b. Plato Hipp. min. 365 A. ἐν ἄλλῳ ὡς καὶ τετελεςμένον ἔςται A. — 315 ἐμέ γ' L. οὔτε μέ γ' CDEH. γρ. οὔτ' ἐμέ γ' C man. rec.: vulgo οὔτ' ἔμεγ'. ὀΐω CDHL. — 316 ἦεν: ἐςτὶν Schol. Plat. Rep. 468 C. — 317 δηΐοιςι μετ' ADHS et libri Heynii: δηΐοιςιν ἐπ' CEGL. — 318 ἴςῃι AD Townl. μοίραι A. πολεμίζει DEL Schol. Plat. Rep. 468 C. πολεμίζῆι A. — 320 ὅ, τ' CG. ὅ, τε ACG. — 321 οὐδέ τΐ μοι CDGH. περίκειται A. — 322 αἰεὶ ACDEGHL: recentiores αἰὲν, quod in nullo codice fertur. — 323 ἀπτῆςι DL. προφέρῃςι ACDEGH Cram. An. Ox. III, 99, 14.

---

A. c. 310 ἀρίςταρχος ᾗ περ δὴ φρονέω (Cod. φρονίων) Didymus. — 317 ἀρίςταρχος ἐπανδράςι Didymus. — 321 περίκειται Herodianus: περὶ κεῖται Ptolem. Ascalonita. — 322 euphoniae causa scripsi cum libris αἰεὶ ἐμὴν, non αἰὲν. eadem de causa A 520, α 341, ν 255 non αἰὲν ἐν, αἰὲν ἐνὶ scribendum est, sed cum omnibus libris αἰεὶ, quod primus Bekkerus sustulit. οὕτως ἀρίςταρχος πολεμίζειν κατὰ τὸ ἀπαρέμφατον Didymus. de alia scriptura nihil tradiderunt veteres.

μάcτακ', ἐπεί κε λάβηcι, κακῶc δ' ἄρα οἱ πέλει αὐτῇ,
ὣc καὶ ἐγὼ πολλὰc μὲν ἀύπνουc νύκταc ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρηccον πολεμίζων,
ἀνδράcι μαρνάμενοc ὀάρων ἕνεκα cφετεράων.
δώδεκα δὴ cὺν νηυcὶ πόλειc ἀλάπαξ' ἀνθρώπων,
πεζὸc δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
τάων ἐκ παcέων κειμήλια πολλὰ καὶ ἐcθλὰ
ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόcκον
Ἀτρείδῃ· ὃ δ' ὄπιcθε μένων παρὰ νηυcὶ θοῇcι
δεξάμενοc διὰ παῦρα δαcάcκετο, πολλὰ δ' ἔχεcκεν.
ἄλλα δ' ἀριcτήεccι δίδου γέρα καὶ βαcιλεῦcι·
τοῖcι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα· τῇ παριαύων
τερπέcθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεccιν
Ἀργείουc; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείραc
Ἀτρείδηc; ἦ οὐχ Ἑλένηc ἕνεκ' ἠυκόμοιο;
ἦ μοῦνοι φιλέουc' ἀλόχουc μερόπων ἀνθρώπων
Ἀτρεῖδαι; ἐπεὶ ὅc τιc ἀνὴρ ἀγαθὸc καὶ ἐχέφρων,
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡc καὶ ἐγὼ τὴν

V. L. 324 ἐπήν κε λάβηcι Cram. An. Ox. III, 99, 15. δ' ἄρα οἱ EL. δ' ἄρα οἷ G. δέ τε οἱ ACDH Lips. Harl. Vrat. b. 2. man. δέ τέ οἱ Athenaeus IX, 373. Plutarchus de Amore prolis 2. — 325 μὲν καὶ L. μὲν νύκταc ἀΰπνουc D. — 326 ἤματα DG. διέπρηcον CG. — 328 δὴ cὺν ACDE 753, 20 GHL Strabo XIII, 584. Schol. A 163, Φ 550. δὲ ξὺν Schol. Υ 89. δὴ ξὺν Eust. 754, 30. μὲν cὺν Max. Tyr. Diss. V, 8. γὰρ cὺν Rhet. Gr. III, 167, 3. Plutarchus de Se ipsum citra invid. laud. 6. ἀλάπαξ' ἀνδρῶν G. — 329 ἕνδεκα φημὶ L. — 331 δῶcκον S. δώcκον Cant. — 332 ὃ δ' D. ὅδ' CGHL. θοῇcι ACDGH. — 333 δια CDGHL. παῦρα διδάcκετο H. ἔχεcκε G. — 334 βαcιλεῦcι CDEGH. — 335 ἀπο A. μόνου EG. — 336 θυμαρέα (η supra α) L. τῇ περ ἰαύων G Mor. τηπεριαύων L. — 337 τί δε δὴ H. τρώεccιν L. — 339 ἢ ACEGL Townl. Rhet. Gr. III, 124, 9: ἦ DH Et. Mg. 414, 56. Et. Gud. 233, 44. Io. Alexandr. 42, 10. Apoll. Lex. 81, 29. Cram. An. Par. III, 125, 34; 302, 2. Schol. A 219. Cram. Epim. 193, 1. — 340 ἦ AH Apoll. Lex. 81, 29. Schol. A 219. Cram. An. Par. III, 125, 34. Et. Mg. 414, 57; 415, 11: ἢ CDEGL Rhet. Gr. III, 115, 16. Apoll. Lex. 163, 6. Cram. An. Par. III, 302, 3. μόνοι EG. — 342 αὐτοῦ: ἑαυτοῦ L.

A. c. 324 ἀρίcταρχοc κακῶc δ' ἀραοι(sic). Didymus. conf. alterum scholium Didymi διὰ τοῦ ἄρα γράφουcιν αἱ Ἀριcτάρχου κακῶc δ' ἄρα οἱ. αἱ δὲ εἰκαιότεραι κακῶc δέ τέ οἱ. recentiores perperam δ' ἄρα οἷ, conf. H. U. 141. — 327 ὀάρων Aristarchus. alii ὀρέων vel ὠρέων. — 336 εἵλετ', ἔχει δ': alii εἵλετ' ἔχειν, quod placuit Herodiano. θυμαρέα Herodianus, non θυμηρέα. — 339 ἦ Herodianus Il. Prosod. A 219. — 340 ἦ Herodianus Il. Pros. A 219. — 342 αὐτοῦ Apollon. de Pron. 101 B; de Synt. 141, 5: αὐτοῦ Ptolemaeus Ascalonita.

ἐκ θυμοῦ φίλεον δουρικτήτην περ ἐοῦςαν.
νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο καί μ' ἀπάτηςε,
μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείςει.
ἀλλ' Ὀδυςεῦ ςὺν ςοί τε καὶ ἄλλοιςιν βαςιλεῦςι
φραζέςθω νήεςςιν ἀλεξέμεναι δήιον πῦρ.
ἦ μὲν δὴ μάλα πολλὰ πονήςατο νόςφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλαςε τάφρον ἐπ' αὐτῷ
εὐρεῖαν, μεγάλην, ἐν δὲ ςκόλοπας κατέπηξεν·
ἀλλ' οὐδ' ὧς δύναται ςθένος Ἕκτορος ἀνδροφόνοιο
ἴςχειν. ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖςιν πολέμιζον,
οὐκ ἐθέλεςκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,
ἀλλ' ὅςον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
ἔνθά ποτ' οἶον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν.
νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμιζέμεν Ἕκτορι δίῳ,
αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶςι θεοῖςι,
νηήςας εὖ νῆας, ἐπὴν ἅλα δὲ προερύςςω,
ὄψεαι, ἢν ἐθέλῃςθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
ἦρι μάλ' Ἑλλήςποντον ἐπ' ἰχθυόεντα πλεούςας
νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεςςέμεναι μεμαῶτας·
εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸς ἐννοςίγαιος,
ἤματί κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
ἔςτι δέ μοι μάλα πολλά, τὰ κάλλιπον ἐνθάδε ἔρρων·
ἄλλον δ' ἐνθένδε χρυςὸν καὶ χαλκὸν ἐρυθρὸν
ἠδὲ γυναῖκας ἐυζώνους πολιόν τε ςίδηρον

---

V. L. 343 δουρικτητήν A. δορικτήτην GS. δορυκτήτην C. — 344 ἀπάτηςε ACDGH. — 346 ὀδυςςεῦ DEGH. ἄλλοιςι DGH. βαςιλεῦςι ACDGH. — 348 ἦ μὲν Schol. I 167. ἐμοῖο Cant. — 349 ἐπαυτῶι A. — 351 ὡς A, ceteri ὧς. ἀνδροφόνοιο: ἱπποδάμοιο D Harl. — 352 ὄφρ' ἐγὼ C. ἀχαιοῖςι DG. — 353 ἄπο A. — 354 ὅςον S et supra ὅτε. ἵκοιτο S Cant. — 355 ἔνθά ποτ' ACDG. — 356 οὐ θέλω G. πολεμιζέμεν ADHL: πολεμίζειν CEGS Schol. I 651. γρ. πολεμίζειν A. — 357 ἱρὰς G. θεοῖςι ACDGH. — 358 ἅλα δὲ D: ceteri ἅλαδε. — 359 αἴ κ' ἐθέλῃςθα L Plato Hipp. min. 370 B. Rhet. Gr. III, 141, 16. αἴ κεν τοι G. μεμήλει L Cant. μεμήλῃ (ει supra) S. μεμήλοι Vrat. b. — 360 ἑλήςποντον G. — 362 εἰ δέ κεν: εἴ περ E. εὐπλοῖην CDEH, quod Heynius et Bekkerus receperunt. δώῃ GH: δῴη ACES. δώιηι D. — 363 ἤματι D 2. man. * κε: κεν ADEGHLS Plato Hipp. min. 370 B. Crit. 44 B. κ' ἐν C. φθίην δ' D. — 364 κάλιπον D. — 365 χαλκὸν καὶ χρυςὸν C. — 366 εὐζώνους GH.

---

A. c. 343 δουρικτήτην Herodianus (cum Aristarcho?) conf. Schol. Π 123. — 349 ἤλαςε τάφρον ἐπ' αὐτῷ: ἀρίςταρχος καὶ ἤλαςεν ἔκτοθι τάφρον Didymus. — 350 ἐν: περὶ Aristarchus.

ἄξομαι, ἅϲϲ᾽ ἔλαχόν γε· γέραϲ δέ μοι, ὅϲ περ ἔδωκεν,
αὖτιϲ ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδηϲ. τῷ πάντ᾽ ἀγορευέμεν, ὡϲ ἐπιτέλλω,
ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπιϲκύζωνται Ἀχαιοί,
εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήϲειν,
αἰὲν ἀναιδείην ἐπιειμένοϲ· οὐδ᾽ ἂν ἐμοί γε
τετλαίη κύνεόϲ περ ἐὼν εἰϲ ὦπα ἰδέϲθαι·
οὐδέ τί οἱ βουλὰϲ ϲυμφράϲϲομαι, οὐδὲ μὲν ἔργον.
ἐκ γὰρ δή μ᾽ ἀπάτηϲε καὶ ἤλιτεν· οὐδ᾽ ἂν ἔτ᾽ αὖτιϲ
ἐξαπάφοιτ᾽ ἐπέεϲϲιν· ἅλιϲ δέ οἱ. ἀλλὰ ἕκηλοϲ
ἐῤῥέτω· ἐκ γάρ εὑ φρέναϲ εἵλετο μητίετα Ζεύϲ.
ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸϲ αἴϲῃ.
οὐδ᾽ εἴ μοι δεκάκιϲ τε καὶ εἰκοϲάκιϲ τόϲα δοίη
ὅϲϲά τέ οἱ νῦν ἐϲτι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
οὐδ᾽ ὅϲ᾽ ἐϲ Ὀρχομενὸν ποτινίϲϲεται, οὐδ᾽ ὅϲα Θήβαϲ
Αἰγυπτίαϲ, ὅθι πλεῖϲτα δόμοιϲ ἐν κτήματα κεῖται,

V. l. 367 ἔλαχόν τε G Barocc. γε omitt. D. γρ. ἅϲϲα λέλογχα (Cod. λελοχ) A. ὅϲπερ AD 2. man. HL: ὥϲπερ CD 1. man. E Harl. Townl. ὅπερ GS Vrat. b. A. — 368 αὖθιϲ C. — 369 ἀγορεύειν E. — 370 ἀμφανδὸν L. ἐπιϲκύζονται DGL Cant. Mor. Townl. — 372 οὐδ᾽: οὐκ E. — 373 τετλαίῃ G. εἰϲῶπα D. — 374 οὐδέ τι CD. οὐδ᾽ ἔτι A. ϲυμφράϲομαι GL 1. man. οὐδεμὲν A. οὐδέμεν G. — 375 αὖθιϲ CL. — 376 ἐξεπάφοιτ᾽ G. — 377 γάρ ἑΰ A.* γὰρ εὖ CLS Cant. Harl. Lips. 1. man. Vrat. b. γὰρ ἕο Lips. ex corr. Vrat. A. γάρ οἱ DE bis GH. διπλῆ δὲ ἐνταῦθα γραφή· ἐκ γάρ οἱ φρένας εἵλετο καὶ ἐκ γὰρ εὖ Eust. 757, 14. μητιέτα L. — 378 ἐν καρὸϲ: ὅτι τινὲϲ ἐν μέροϲ λόγου ἀκούϲαντεϲ καὶ προπαροξύναντεϲ „ἔγκαροϲ“ ἔγραψαν καὶ τὸν φθεῖρα ἀπέδωκαν Eust. 757, 26. ἄλλοι δὲ γράφουϲι μὲν καὶ αὐτοὶ προπαροξυτόνωϲ „ἔγκαροϲ“ καὶ κλίνουϲιν ἔγκαρ ἔγκαροϲ Eust. 757, 35. — 379 τόϲϲα D. δοίῃ G. — 380 ἐϲτι ADG: ceteri ἐϲτὶ. — 381 ἠδ᾽ ὅϲ᾽ ACDGH Harl. Lips. οὐδ᾽ ὅϲ᾽ E Strabo IX, 414. Pausanias IX, 38, 8. Schol. λ 459. οὐδ᾽ ὅϲα ἐϲ L. ὅϲα ὀρχομενὸν C. ποτινίϲϲεται A. ποτινίϲϲεται C post ras. H Pausanias IX, 38, 8. Strabo IX, 414. Et. Mg. 685, 21. ποτινείϲεται DE Harl. Townl. Schol. λ 459. Eust. 1288, 58. ποτινήϲεται GL. τὸ δὲ ποτινείϲϲεται ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῷ τε λόγῳ τῶν διὰ τοῦ ιϲϲω ῥημάτων, καὶ ὡϲ ἀπὸ τοῦ νέω νείω, τὸ πορεύομαι, ἐν ἄλλοιϲ ῥηθήϲεται Eust. 758, 3, conf. H. T. 316 sq. ἠδ᾽ ὅϲα ACDGHL Harl. Lips. οὐδ᾽ ὅϲα E Strabo IX, 414; XVII, 815. Diodorus I, 45. γρ. οὐδ᾽ ὅϲ᾽ ἐρχομενον καὶ οὐδ᾽ ὅϲα θήβαϲ A. — 382 ὅθι: γρ. καὶ ᾗ ἀντὶ τοῦ ὅθι A, conf. δ 229. δόμοιϲ ἐκτήματα D. ἒν A. ἐνϊ C. ἐνὶ Cant. Strabo XVII, 815. ἔνι Diodorus I, 45.

A. c. 377 γάρ εὑ, conf. H. U. 144.

αἵ θ' ἑκατόμπυλοί εἰϲι, διηκόϲιοι δ' ἀν' ἑκάϲταϲ
ἀνέρεϲ ἐξοιχνεῦϲι ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφιν·
οὐδ' εἴ μοι τόϲα δοίη ὅϲα ψάμαθόϲ τε κόνιϲ τε,
οὐδέ κεν ὣϲ ἔτι θυμὸν ἐμὸν πείϲει Ἀγαμέμνων,
πρίν γ' ἀπὸ πᾶϲαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
κούρην δ' οὐ γαμέω Ἀγαμέμνονοϲ Ἀτρεΐδαο,
οὐδ' εἰ χρυϲείῃ Ἀφροδίτῃ κάλλοϲ ἐρίζοι,
ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰϲοφαρίζοι·
οὐδέ μιν ὣϲ γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέϲθω,
ὅϲ τίϲ οἵ τ' ἐπέοικε καὶ ὃϲ βαϲιλεύτερόϲ ἐϲτιν.
ἢν γὰρ δή με ϲόωϲι θεοὶ καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύϲ θήν μοι ἔπειτα γυναῖκα γαμέϲϲεται αὐτόϲ.
πολλαὶ Ἀχαιΐδεϲ εἰϲὶν ἀν' Ἑλλάδα τε Φθίην τε
κοῦραι ἀριϲτήων, οἵ τε πτολίεθρα ῥύονται·
τάων ἥν κ' ἐθέλωμι φίλην ποιήϲομ' ἄκοιτιν.
ἔνθα δέ μοι μάλα πολλὸν ἐπέϲϲυτο θυμὸϲ ἀγήνωρ
γήμαντι μνηϲτὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,

---

V. l. 383 ἑκατόμπυλοί A. ἑκατοντάπυλαι L. ἂν AE. ἀνὰ D. ἐν L. ἑκάϲταϲ AC: ἑκάϲτην EH Diodorus I, 45. Strabo XVII, 815. ἀνεκάϲτην S. ἑκάϲτῃ DGL Lips. Mor. Mosc. 3. — 384 ἐξιχνεῦϲι G. ἵπποιϲι EL. ἵπποιϲ G. ὄχεϲφι E. — 385 ψάμαθόϲ τε κόνιϲ τε: ψεύδονται ὄνειροι Schol. Theocr. IX, 16. — 386 ὡϲ AD: ceteri ὣϲ· πείϲει ACDE 758, 35 GHL: πείϲῃ E 757, 58 S Cant. recentiores πείϲει'. — 387 ἄπο CDGHL. — 389 χρυϲῇ E. — 390 omitt. Vrat. b. — 391 ὡϲ AD: ceteri ὣϲ. ὁ δ' D. ὅδ' CGHL. ἑλέϲθω: ἐρέϲθω G Mor. — 392 ὅϲτιϲ οἵ τ' D Cram. Epim. 326, 25: ὅϲτιϲ οἷ τ' ACEGHL Apoll. de Synt. 145, 8. Schol. I 399. ὅϲτιϲ οἵ γ' Pseudoplut. 119, 17. — 393 ϲάωϲι Schol. Π 252. — 394 πηλεὺϲ δή μοι ES Cant. γαμήϲεται L. — 395 πολλαὶ δ' D. ἀχαϊάδεϲ C. ἀχαιϊάδεϲ G. ἀνελλάδα D. ἑλλάδά τε C. — 397 omitt. Townl. 1. man. ἐθέλωμι Apoll. de Coni. 516, 12: ἐθέλοιμι ACDGHLS. — 398, 399 omitt. Mosc. 3. — 398 ἐνθάδε Et. Mg. 9, 45. ἐπέϲϲυται L. ἐπέϲυτο G 1. man. — 399 γήμαντα Mor.

---

A. c. 383 ἀρίϲταρχοϲ ἑκάϲταϲ, ἄλλοι δὲ ἑκάϲτην Didymus. ἀνὰ ἑκάϲταϲ, οὕτω γὰρ πληθυντικῶϲ καὶ οὐχὶ ἑκάϲτην ἑνικῶϲ πολλοὶ γράφουϲι τῶν παλαιῶν, παραϲημειούμενοι ὡϲ οὐδέποτε πύλην ἑνικῶϲ λέγει ὁ ποιητήϲ, ἀλλὰ πύλαϲ Eust. 758, 10. — 386 πείϲει magis convenit Achilli irato quam πείϲει', quam scripturam primus Wolfius induxit, quem recentiores praeter Bothium et Spitznerum sunt secuti, conf. G. Herm. Opusc. IV, 44. Bekk. Hom. Bl. 42. — 392 ὅϲτιϲ οἷ Herodianus cum Apollonio. de scriptura ὅϲ τίϲ οἵ τ' conf. H. U. 144. — 393 ϲόωϲι Herodianus cum Ptolem. Ascalonita. ϲοῶϲι Tyrannio. ϲάωϲι Apio. — 394 γαμέϲϲεται: ἀρίϲταρχοϲ γυναῖκά γε μάϲϲεται Didymus. — 397 ἀρίϲταρχοϲ ἐθέλωμι (Cod. ἐθέλωμαι) Didymus. — 399 οὕτωϲ ἀρίϲταρχοϲ κατὰ δοτικήν, ἄλλοι δὲ γήμαντα Didymus.

κτήμαϲι τέρπεϲθαι, τὰ γέρων ἐκτήϲατο Πηλεύϲ·
οὐ γὰρ ἐμοὶ ψυχῆϲ ἀντάξιον οὐδ᾽ ὅϲα φαϲὶν
Ἴλιον ἐκτῆϲθαι, εὖ ναιόμενον πτολίεθρον,
τὸ πρὶν ἐπ᾽ εἰρήνηϲ, πρὶν ἐλθεῖν υἷαϲ Ἀχαιῶν,
οὐδ᾽ ὅϲα λάινοϲ οὐδὸϲ ἀφήτοροϲ ἐντὸϲ ἐέργει,
Φοίβου Ἀπόλλωνοϲ, Πυθοῖ ἔνι πετρηέϲϲῃ.
ληιϲτοὶ μὲν γάρ τε βόεϲ καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδέϲ τε καὶ ἵππων ξανθὰ κάρηνα·
ἀνδρὸϲ δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊϲτὴ
οὔθ᾽ ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκοϲ ὀδόντων.
μήτηρ γάρ τέ μέ φηϲι, θεὰ Θέτιϲ ἀργυρόπεζα,
διχθαδίαϲ κῆραϲ φερέμεν θανάτοιο τέλοϲ δέ.
εἰ μέν κ᾽ αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
ὤλετο μέν μοι νόϲτοϲ, ἀτὰρ κλέοϲ ἄφθιτον ἔϲται·
εἰ δέ κεν οἴκαδ᾽ ἵκωμι φίλην ἐϲ πατρίδα γαῖαν,
ὤλετό μοι κλέοϲ ἐϲθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔϲϲεται, οὐδέ κέ μ᾽ ὦκα τέλοϲ θανάτοιο κιχείη.
καὶ δ᾽ ἂν τοῖϲ ἄλλοιϲιν ἐγὼ παραμυθηϲαίμην
οἴκαδ᾽ ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆϲ· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺϲ
χεῖρα ἑὴν ὑπερέϲχε, τεθαρϲήκαϲι δὲ λαοί.
ἀλλ᾽ ὑμεῖϲ μὲν ἰόντεϲ ἀριϲτήεϲϲιν Ἀχαιῶν
ἀγγελίην ἀπόφαϲθε, τὸ γὰρ γέραϲ ἐϲτὶ γερόντων,
ὄφρ᾽ ἄλλην φράζωνται ἐνὶ φρεϲὶ μῆτιν ἀμείνω,

---

V. L. 401 ἐμοὶ ACDHS: ἐμῆϲ EGL Barocc. Mor. Eust. 1039, 45. — 402 εὖ ναιόμενον ACEG. εὐναιόμενον L. — 405 ἔνι AE Schol. Ε 422: ἐνὶ CDGHL. — 406 γάρ τοι G. — 407 κτητοί τε H Stobaeus Floril. 118, 2, omisso τε. κτητοὶ δέ τε D. — 408 δὲ ψυχή: δὲ ἀρετὴ Maxim. Tyr. Diss. XXVIII, 6. — 410 τέ με φηϲὶ ACDGHL. τέ μέ φηϲι Schol. α 34. τ᾽ ἐμέ φηϲι S. — 411 τέλοϲ δὲ D. κῆραϲ: μοίραϲ Schol. Π 687. — 412 μένω Lips. τριὐων L. ἀμφιμάχομαι D. — 413 αὐτὰρ G. — 414 ἵκωμι A: ἵκωμαι CDEGHLS. — 415 ὤλετο μέν μοι G. ὤλετο μὲν Rom. ἐπι ADHL. — 416 οὐδέ κε μ᾽ ADEL. οὐδέ κ᾽ ἐμ᾽ Cant. κιχείῃ AG. — 418 ἀποπλεῖν G. δείετε C et suprascr. man. rec. γρ. ή. — 419 γὰρ ἔθεν CG. γὰρ ἔθεν D. — 420 τεθαρρήκαϲι S Cant. — 423 φράζονται Mosc. 3. ἐνι D.

---

A. c. 401 ἐμοὶ: ἐνίουϲ φηϲὶν ὁ ἀρίϲταρχοϲ γρ. ἐμῆϲ ψυχῆϲ οὐκ εὖ Didymus. — 405 Φοίβου: γρ. Ζηνόδοτοϲ νηοῦ ἀπόλλωνοϲ Schol. A. — 414 ἵκωμι, conf. H. U. 250. — 416 ἀθετεῖται Aristonicus. οὐδὲ παρὰ Ζηνοδότῳ ἐφέρετο Didymus.

ἤ κέ cφιν νῆάc τε cόῳ καὶ λαὸν Ἀχαιῶν
νηυcὶν ἔπι γλαφυρῇc, ἐπεὶ οὔ cφιcιν ἥδέ γ᾽ ἑτοίμη,
ἣν νῦν ἐφράccαντο ἐμεῦ ἀπομηνίcαντοc.
Φοῖνιξ δ᾽ αὖθι παρ᾽ ἄμμι μένων κατακοιμηθήτω,
ὄφρά μοι ἐν νήεccι φίλην ἐc πατρίδ᾽ ἕπηται
αὔριον, ἢν ἐθέλῃcιν· ἀνάγκῃ δ᾽ οὔ τί μιν ἄξω.
  ὣc ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ
μῦθον ἀγαccάμενοι· μάλα γὰρ κρατερῶc ἀπέειπεν.
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ
δάκρυ᾽ ἀναπρήcαc· περὶ γὰρ δίε νηυcὶν Ἀχαιῶν·
  εἰ μὲν δὴ νόcτόν γε μετὰ φρεcὶ φαίδιμ᾽ Ἀχιλλεῦ
βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυcὶ θοῇcι
πῦρ ἐθέλειc ἀΐδηλον, ἐπεὶ χόλοc ἔμπεcε θυμῷ,
πῶc ἂν ἔπειτ᾽ ἀπὸ cεῖο φίλον τέκοc αὖθι λιποίμην
οἶοc; cοὶ δέ μ᾽ ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺc
ἤματι τῷ, ὅτε c᾽ ἐκ Φθίηc Ἀγαμέμνονι πέμπε
νήπιον, οὔ πω εἰδόθ᾽ ὁμοιίου πολέμοιο
οὐδ᾽ ἀγορέων, ἵνα τ᾽ ἄνδρεc ἀριπρεπέεc τελέθουcι.
τοὔκενά με προέηκε διδαcκέμεναι τάδε πάντα,
μύθων τε ῥητῆρ᾽ ἔμεναι πρηκτῆρά τε ἔργων.
  ὡc ἂν ἔπειτ᾽ ἀπὸ cεῖο φίλον τέκοc οὐκ ἐθέλοιμι
λείπεcθ᾽, οὐδ᾽ εἴ κέν μοι ὑποcταίη θεὸc αὐτὸc

V. L. 424 ἤ καί cφι G Mor. cφι Cant. cόω A. cόοι L. cόῃ CDEGHS Eust. 758, 52. — 425 ἐπὶ ACDGHL. γλαφυρῇcιν DL. ἥδέ γ᾽ A. ἥδέ γ᾽ CH. — 426 ἐφράcαντο DG. ἀπομηνίcαντοc A. — 427 φοίνιξ DL. δ᾽ ἄμμι παρ᾽ αὖθι μένων Harl. παράμμι D. — 428 ὄφρά μοι ACDG. ἕποιτο D. — 429 οὔ τί μιν E 761, 13. — 430 ὡc A. οἵδ᾽ CGL. ἀκῆν G. — 431 ἀγαcάμενοι D. ἀπέειπε D. ἀπόειπεν G. προcέειπεν H. (ἀπέ) — 432 φοίνιξ DL. — 433 δάκρυ᾽ ACD 2. man. GLS Schol. Θ 182. Hesych. III, 371: δάκρυ D 1. man. H Apoll. Lex. 134, 29. Schol. Π 3. δάκρυα E, conf. β 81. ἀναπρήcαc A. ἀναπλήcαc G. περὶ AD Zonar. Lex. 483. Etym. Or. 50, 6: πέρι EGL. περϊ CH. δῖε C. δίε, νηυcὶν AD. — 434 νόcτόν γε ΔΗ. μετα AD. — 435 βάλεαι D Vrat. b. βούλεαι G Mor. Barocc. οὐδ᾽ ἔτι A, conf. 374. θοῇcι ACDEGHL. — 437 ἀπο A. — 438 cοὶ δ᾽ ἔμ᾽ H. — 439 ἤματι D. ὅτι E 761, 64. φθίαc G. πέμπε ACDEH. — 440 πτολέμοιο GH. — 441 ἀγορέων ACDEH: ἀγοράων GL. τελέθουcι ACEGH. τελέθωcι D. — 442 προέηκε A. — 443 μύθων δὴ G. μύθων τὲ C. ἔμμεναι DH. — 444 ὧc AH. πῶc L. ἀπο A. οὐκεθέλοιμι D.

A. c. 424 cόῳ, conf. ad 681. — 426 ἀπομηνίcαντοc Herodianus cum Alexione et Ptolem Ascalonita.

γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα,
οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο,
ὅς μοι παλλακίδος περιχώσατο καλλικόμοιο,
τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
μητέρ' ἐμήν· ἣ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων
παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα.
τῇ πιθόμην καὶ ἔρεξα· πατὴρ δ' ἐμὸς αὐτίκ' ὀισθεὶς
πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' ἐρινῦς,
μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ' ἐτέλειον ἐπαράς,
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια.
[τὸν μὲν ἐγὼ βούλευσα κατακτάμεν ὀξέι χαλκῷ·
ἀλλά τις ἀθανάτων παῦσεν χόλον, ὅς ῥ' ἐνὶ θυμῷ
δήμου θῆκε φάτιν καὶ ὀνείδεα πόλλ' ἀνθρώπων,
ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην.]
ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεσὶ θυμὸς

V. l. 446 ἀποξήσας S. θήσει νέον G. — 447 καλλιγύναικα A. — 448 ὀρμενίδαο D. — 449 περὶ, χώσατο A. περίχώσατο L. πέρι χώσατο ES. ceteri περιχώσατο cum Lips. Mosc. 3. — 451 ἦδ' CGHL. ἐμὲ: ἐμῶν S Cant. ἐμεῦ Lips. 1. man. λισσέσκετο (α) A. — 452 ἐχθήρειε C. — 453 ἔρξα G. ὀϊθεὶς L. — 454 ἐρινῦς AD: ἐριννῦς CEGHL. — 455 ἐφέσεσθαι G 1. man. ἐφέσθαι Mor. ἐφέσσασθαι H. ἐφέσασθαι D. ἐφέζεσθαι CE Harl. — 456 ἐξέμεθεν D. θεὸς δ' ἐτέλειεν E. δὲ τέλειον H. ἐπ ἀρὰς A. ἐπ' ἀράς DL. — 457 ἐπαινὴ: αἰπεινὴ DG. περσεφόνεια (φ) A. — 458—461 omittunt libri omnes cum Eustathio. — 459, 460 laudat Plutarchus Coriol. 32 ἀλλά τις ἀθανάτων τρέψεν φρένας, ὅς γ' ἐνὶ θυμῷ δήμου θῆκε φάτιν, idem de Adulatore et amico 33 versum 461 ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην. — 462 ἔνθ' ἐμοὶ ADEHL: ἔνθά μοι CS. ἔνθα μοι Mor. Cant. Harl. Townl. Mosc. 3. γρ. ἐνθά μοι A. ἔνθεν μοι G.

A. c. 446 ἡβώοντα: οὕτως διὰ τοῦ ω̅ καὶ ο̅ αἱ ἀριστάρχου Didymus. — 447 οἷον: τοῖον Zenodotus. Ἑλλάδα καλλιγύναικα: Ὀρμένιον πολύμηλον Demetrius Scepsius apud Strabonem IX, 439 et Eust. 762, 36; vel Ὀρμένιον πολύπυρον teste Eust. 332, 6. — 449 περιχώσατο Alexio, καὶ οὕτως μᾶλλον ἐπεκράτησεν ἡ παράδοσις: alii πέρι χώσατο, conf. H. T. 338 sq. — 453 τῇ: τῇ οὐ Aristodemus Nysaeus cum Sosiphane, conf. Eust. 763, 9. — 455 γούνασιν οἷσιν: ὅτι τινὲς γράφουσιν ἐμοῖσιν Aristonicus. οὕτως διὰ τοῦ ε̅ ἐφέσσεσθαι Didymus. — 456 Herodianus ἐπαράς et ἐπ' ἀράς. — 457 ἐπαινὴ: οἱ δὲ γράφουσι „καὶ ἐπ' αὐτῷ Περσεφόνεια" Schol. LV. — 458—461 laudat Plutarchus de Audiendis poetis 8, qui addit ὁ μὲν οὖν Ἀρίσταρχος ἐξεῖλε ταῦτα τὰ ἔπη φοβηθείς. quos si Aristarchus removisset, in editionibus antearistarcheis et in κοιναῖς scripti fuissent; sed neque Aristonico nec Didymo hi versus cogniti fuerant, unde patet de Aristarcho Plutarchum hariolari.

πατρὸc χωομένοιο κατὰ μέγαρα cτρωφᾶcθαι.
ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶc ἐόντεc
αὐτοῦ λιccόμενοι κατερήτυον ἐν μεγάροιcι,
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδαc ἕλικαc βοῦc
ἔcφαζον, πολλοὶ δὲ cύεc θαλέθοντεc ἀλοιφῇ
εὑόμενοι τανύοντο διὰ φλογὸc Ἡφαίcτοιο,
πολλὸν δ᾽ ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντοc.
εἰνάνυχεc δέ μοι ἀμφ᾽ αὐτῷ παρὰ νύκταc ἴαυον·
οἳ μὲν ἀμειβόμενοι φυλακὰc ἔχον, οὐδέ ποτ᾽ ἔcβη
πῦρ, ἕτερον μὲν ὑπ᾽ αἰθούcῃ εὐερκέοc αὐλῆc,
ἄλλο δ᾽ ἐνὶ προδόμῳ πρόcθεν θαλάμοιο θυράων.
ἀλλ᾽ ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
καὶ τότ᾽ ἐγὼ θαλάμοιο θύραc πυκινῶc ἀραρυίαc
ῥήξαc ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆc,
ῥεῖα, λαθὼν φύλακάc τ᾽ ἄνδραc δμῳάc τε γυναῖκαc.
φεῦγον ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδοc εὐρυχόροιο,
Φθίην δ᾽ ἐξικόμην ἐριβώλακα, μητέρα μήλων,
ἐc Πηλῆα ἄναχθ᾽· ὃ δέ με πρόφρον ὑπέδεκτο,
καί μ᾽ ἐφίληc᾽ ὡc εἴ τε πατὴρ ὃν παῖδα φιλήcῃ,
μοῦνον τηλύγετον, πολλοῖcιν ἐπὶ κτεάτεccι,
καί μ᾽ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπαcε λαόν·

V. L. 463 κατα AD. ἐνταῦθα cημείωcαι ὡc, εἴ περ κατά τινα τῶν ἀντιγράφων γράφεται „κατὰ μέγαρα cτροφάαcθαι“ διὰ μικροῦ ο̅, ἔχοι ἂν μεγάλην ἀπορίαν καὶ δύcλυτον ἡ τοιαύτη γραφή Eust. 764, 2. — 464 πολλὰ: πολλοὶ Et. Mg. 386, 46. ἔται G. ἀμφὶc ἐόντεc: ἐν ἄλλῳ ἐγγὺc ἐόντεc A. — 465 μεγάροιcι ACDEGH. — 466 εἰλίποδαc EGL. — 469 πολὺ δὲ ἐκ G. πολλῶν δ᾽ ἐκ S Apoll. Lex. 98, 5. — 470 εἰνάνυχεc (ν superscr.) C. παρὰ: περὶ G Mor. — 471 οἳ μὲν C. εἶχον C. — 472 ὑπαιθούccηι A. ἐν αἰθούcῃ L. ὑπ᾽ αἰθούcηc Schol. A 120. Et. Mg. 32, 47. ἐν ἄλλῳ ἐν αἰθούccῃ A. εὐεργέοc Schol. A 120. — 473 ἐνι D. ἐπὶ Schol. Є 137. — 474 omitt. D in textu, habet in marg. man. rec. scriptum. — 476 ἕρκιον EGL. — 477 τ᾽ omitt. D. δμωιάc A. δμῶαc G. — 478 φεύγων E bis G. φεῦγον δ᾽ C. εὐρυχώροιο D 1. man. G. — 479 μήλων: θηρῶν Harl. — 480 πηλῆ᾽ ἄνακτα G. ἄνακτα (χθ᾽ superscr.) A. γρ. ἐc πηλῆα ἄναχθ᾽ A. — 481 μ᾽ ἐφίληc᾽ ACS. μ᾽ ἐφίληcε G Mor. Harl. Townl. Vrat. b. Apollon. de Synt. 122, 5. μ᾽ ἐφίληcεν de Synt. 125, 3. με φίληcεν de Pron. 50 C. Bekk. Anecd. 1145. με φίληcέ τ᾽ E. με φίληc᾽ DHL. ὡc εἴτε DE: ceteri ὡcείτε. φιλήcῃ AE: φιλήcει CDGHLS Cant. Mor. Barocc. Vrat. A. — 482 πολλοῖc G. ἐπι A. κτεάτεccι CGH.

A. c. 464 Διονύcιοc ὁ Θρᾷξ ἐν τῷ πρὸc Κράτητά φηcι γεγραμμένου „ἀντιόωντεc“ μεταθεῖναι τὸν Ἀρίcταρχον „ἀμφὶc ἐόντεc“ Didymus. — 472 ὑπ᾽: ἐν Aristarchus.

ναῖον δ' ἐcχατιὴν Φθίης Δολόπεccιν ἀνάccων.
καί cε τοcοῦτον ἔθηκα θεοῖc ἐπιείκελ' Ἀχιλλεῦ,
ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεcκεc ἅμ' ἄλλῳ
οὔτ' ἐc δαῖτ' ἰέναι οὔτ' ἐν μεγάροιcι πάcαcθαι,
πρίν γ' ὅτε δή c' ἐπ' ἐμοῖcιν ἐγὼ γούνεccι καθίccαc
ὄψου τ' ἄcαιμι προταμὼν καὶ οἶνον ἐπιcχών.
πολλάκι μοι κατέδευcαc ἐπὶ cτήθεccι χιτῶνα
οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
ὣc ἐπὶ coὶ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγηcα,
τὰ φρονέων, ὅ μοι οὔ τι θεοὶ γόνον ἐξετέλειον
ἐξ ἐμεῦ· ἀλλὰ cὲ παῖδα θεοῖc ἐπιείκελ' Ἀχιλλεῦ
ποιεύμην, ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃc.
ἀλλ' Ἀχιλεῦ δάμαcον θυμόν μέγαν· οὐδέ τί cε χρὴ
νηλεὲc ἦτορ ἔχειν· cτρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε.
καὶ μὲν τοὺc θυέεccι καὶ εὐχωλῇc ἀγανῇcι
λοιβῇ τε κνίcῃ τε παρατρωπῶc' ἄνθρωποι
λιccόμενοι, ὅτε κέν τιc ὑπερβήῃ καὶ ἁμάρτῃ.
καὶ γάρ τε λιταί εἰcι Διὸc κοῦραι μεγάλοιο,
χωλαί τε ῥυcαί τε παραβλῶπέc τ' ὀφθαλμώ,
αἵ ῥά τε καὶ μετόπιcθ' ἄτηc ἀλέγουcι κιοῦcαι.

---

V. l. 488 γούνεccι A Towni. γούναccι C. γούναcι (c supra) D. γούναcι EGH LS Eust. 1283, 36. καθίcαc EG Eust. 1283, 36. — 489 ὄψου τ': ὄψου ACDHLS Cant. Townl. Vrat. b. — 490 πολλάκιc L. ἐπὶ: ἐνὶ S Cant. cτήθεcφι L. — 492 ὡc A. πολλὰ πάθον LS Cant. ceteri πόλλ' ἔπαθον. πόλλ' ἐμόγηcα libri. — 493 θεὸc γόνον ἐξετέλειεν E. ἐξετέλεccαν GL Mor. — 494 ἀλλὰ cὲ ACDE: ἀλλά cε GHL. ἀχϊλεῦ CH. — 495 ἵνά μοι L. ἀμύνοιc E 767, 30; sed 765, 42 ἀμύνῃc. — 496 ἀχιλλεῦ G. οὐδέ τι cε χρὴ CDEGHL. — 497 τρεπτοὶ L Cram. An. Par. III, 385, 7. — 498 omittit Plato Rep. II, 364 D. — 499 καὶ τοὺc μὲν θυcίαιcι Plato Rep. II, 364 D. εὐχωλαῖcιν ἀγαναῖcι G. εὐχωλῇιc' A. ἀγανῇcι ACDEH. — 500 κνίccῃ CEGHL. ἐν ἄλλῳ λοίβηc τε κνίcηc τε A. παρατρωπῶcιν G. — 501 ὑπερβήῃ ADEG. ὑπερβήιη C. ὑπερβῖῃ H. ὑπερβείῃ καὶ ἁμάρτοι L. — 502 τοι λιταί L. τε omitt. G. λιταὶ εἰcὶ κοῦραι διὸc μεγάλοιο H. — 503 ῥυccαί CEHLS. ὀφθαλμὼ CL. ὀφθαλμῷ HS. ὀφθαλμοὺc G. ὀφθαλμῶν AD Townl. Vrat. b, libri longe praestantissimi, cum Et. Mg. 641, 42. ὀφθαλμῶν ἢ ὀφθαλμὼ Eust. 768, 5 et 17. τὸ δὲ παραβλῶπεc ὀφθαλμώ, ἤγουν ὀφθαλμούc, τέτριπται μὲν πλέον τοῦ ὀφθαλμῶν Eust. 768, 46. — 504 μετόπιcθεν LS.

---

A. c. 488 οὕτωc διὰ τοῦ ε γούνεccι, ἔχει μέντοι λόγον καὶ ἡ διὰ τοῦ ἄλφα Didymus. — 492 ἀρίcταρχοc πολλὰ πάθον καὶ πολλὰ μόγηcα Didymus. — 494 ἀλλὰ cὲ Herodianus. — 503 παραβλῶπεc Herodianus, προπεριcπωμένωc.

ἡ δ' ἄτη cθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάcας
πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶcαν ἐπ' αἶαν
βλάπτουc' ἀνθρώπους· αἳ δ' ἐξακέονται ὀπίccω.
ὃς μέν τ' αἰδέcεται κούρας Διὸς ἆccον ἰούcας,
τὸν δὲ μέγ' ὤνηcαν καί τ' ἔκλυον εὐξαμένοιο·
ὃς δέ κ' ἀνήνηται καί τε cτερεῶς ἀποείπῃ,
λίccονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦcαι
τῷ ἄτην ἅμ' ἕπεcθαι, ἵνα βλαφθεὶς ἀποτίcῃ.
ἀλλ' Ἀχιλεῦ πόρε καὶ cὺ Διὸς κούρῃcιν ἕπεcθαι
τιμήν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει νόον ἐcθλῶν.
εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπιcθ' ὀνομάζοι
Ἀτρείδης, ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
οὐκ ἂν ἐγώ γέ cε μῆνιν ἀποῤῥίψαντα κελοίμην
Ἀργείοιcιν ἀμυνέμεναι χατέουcί περ ἔμπης·
νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπιcθεν ὑπέcτη,
ἄνδρας δὲ λίccεcθαι ἐπιπροέηκεν ἀρίcτους
κρινάμενος κατὰ λαὸν Ἀχαιικόν, οἵ τε cοὶ αὐτῷ
φίλτατοι Ἀργείων· τῶν μὴ cύ γε μῦθον ἐλέγξῃς
μηδὲ πόδας· πρὶν δ' οὔ τι νεμεccητὸν κεχολῶcθαι.
οὕτω καὶ τῶν πρόcθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι·
δωρητοί τε πέλοντο παράῤῥητοί τ' ἐπέεccι.
μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε,

V. l. 505 ἀρτίπους CDGH. — 506 ἐπαῖαν D. — 507 αἳ δ' AD. αἴδ' CGL. ταὶ δ' Vrat. b. ὀπίcω E. — 508 ἅccον ACDEGHL. — 509 τόνδε CGHL. κέ τ' ἔκλυον D. εὐξαμένοιο ACDEGS et Heynii libri: εὐχομένοιο HL. — 510 ὃc δ' ἀνήνηται L. ἀνήνηται ACE bis. καὶ ἐκcτερεῶc G. — 511 δὴ ἄρα E. κίουcαι G. — 512 ἀποτίνῃ L. γρ. ἀποτίνηι A. — 513 ἀχιλλεῦ G. κούραιcιν L. — 514 περ omitt. G. ἐπιγνάπται DG Mor. Cant. Harl. Vrat. b. νόον: φρένας E. — 515 γὰρ δὴ μὴ D. φέροι: διδοῖ Schol. I 164 ὀνομάζει G. — 516 ἐπι ζαφελῶς L. χαλεπαίνῃ G Barocc. — 519 ἅμ' αὐτίκα H Cant. ἅμ' αὐτίκ' S. ὄπιcθ' G Mor. ὄπιcθ' ὀνομάζει S Cant. Barocc. (?) — 520 ἄνδρε et ἀρίcτω G post ras. ἄνδρας τε S Cant. δ' ἐλίcceεcθαι Vrat. b. ἐπι προέηκεν A. ἐπὶ cὲ προέηκεν G. — 521 ἀχαϊκὸν CGH. οἵτε cοι D. οἳ τέ cοι H. — 522 τῶν γε μὴ H. — 523 μὴ δὲ CDHL. νεμεcητὸν G. — 524 τῷ πρόcθεν G. — 525 κέν τις L. ἥκοι Apoll. Lex. 73, 9. — 526 τ' ἐπέλοντο CEGLS Mor. Aristoteles Rhet. III, 9. παραρητοί DH. ἐπέεccι ACGH. — 527 νέον τε Vrat. A.

A. c. 506 φθάνει: ὅτι Ζηνόδοτος γρ. φθανέει Aristonicus, conf. Schol. Φ 562. — 509 εὐξαμένοιο: ἀρίcταρχος εὐχομένοιο Didymus. dedi ex libris fere omnibus εὐξαμένοιο, quod Homero est usitatum, conf. A 382, 453, Π 236, 531, φ 211. — 516 ἐπιζαφελῶς Herodianus.

ὡϲ ἦν· ἐν δ' ὑμῖν ἐρέω πάντεϲϲι φίλοιϲι.
Κουρῆτέϲ τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι
ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλουϲ ἐνάριζον,
Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνοϲ ἐραννῆϲ,
Κουρῆτεϲ δὲ διαπραθέειν μεμαῶτεϲ ἄρηι.
καὶ γὰρ τοῖϲι κακὸν χρυϲόθρονοϲ Ἄρτεμιϲ ὦρϲε
χωϲαμένη ὅ οἱ οὔ τι θαλύϲια γουνῷ ἀλῳῆϲ
Οἰνεὺϲ ῥέξ'· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβαϲ,
οἴῃ δ' οὐκ ἔρρεξε Διὸϲ κούρῃ μεγάλοιο,
ἢ λάθετ' ἢ οὐκ ἐνόηϲεν· ἀάϲατο δὲ μέγα θυμῷ.
ἣ δὲ χολωϲαμένη δῖον γένοϲ ἰοχέαιρα
ὦρϲεν ἔπι χλούνην ϲῦν ἄγριον ἀργιόδοντα,
ὃϲ κακὰ πόλλ' ἔρδεϲκεν ἔθων Οἰνῆοϲ ἀλῳήν·
πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
αὐτῇϲιν ῥίζῃϲι καὶ αὐτοῖϲ ἄνθεϲι μήλων.
τὸν δ' υἱὸϲ Οἰνῆοϲ ἀπέκτεινεν Μελέαγροϲ,
πολλέων ἐκ πολίων θηρήτοραϲ ἄνδραϲ ἀγείραϲ
καὶ κύναϲ· οὐ μὲν γάρ κε δάμη παύροιϲι βροτοῖϲι·
τόϲϲοϲ ἔην, πολλοὺϲ δὲ πυρῆϲ ἐπέβηϲ' ἀλεγεινῆϲ.
ἣ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαθον καὶ ἀυτήν,
ἀμφὶ ϲυὸϲ κεφαλῇ καὶ δέρματι λαχνήεντι,

---

V. l. 528 φίλοιϲι ACDEGH Rhet. Gr. III, 104, 14; 224, 9. — 529 τ' ἐμάχοντο libri cum Apoll. Lex. 103, 15. Et. Mg. 534, 14. Schol. Є 9. Eust. 282, 7. Strab. VIII, 340; X, 463 et 466. Rhet. Gr. III, 104, 14; 224, 9: τε μάχοντο Eust. 305, 31. — 531 ἐρα||||||νῆϲ C. ἐρατεινῆϲ C 1. man.(?) G. — 533 τοῖϲ G. ὦρϲε ACDGHL. — 534 χωομένη H. ὅ, οἵ C. ἀλωιῆϲ A. ἀλῳιῆϲ C. ἀλωῆϲ G, cf. 540. — 535 ῥέξ' H: ἔρξ' D Harl. Vrat. b. ἔρ ξ' (ε supra) A. ἔρξ' L. |||ρεξ' C. ἔρεξ' C 1. man. G. — 537 ἀάϲϲατο CL. δὲ: γὰρ L. — 538 ἣ δὲ C. — 539 ἔπι A: ἐπι CL. ἐπὶ DEGH. χλοῦνϊν C. θρέψεν ἐπὶ χλούνην ϲῦν ἄγριον οὐδὲ ἐῴκει θηρί γε ϲιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι Aristoteles Histor. animal. VI, 28. τὸ δὲ ὦρϲε καὶ ἑξῆϲ εὕρηται παρὰ τῷ γεωγράφῳ „θρέψεν ἐπὶ χλούνην ϲῦν·" παρ' ᾧ καὶ ϲτίχοϲ εὕρηται οὗτοϲ ἐπηγμένοϲ· „οὐδὲ ἐῴκει θηρί γε ϲιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι" Eust. 772, 46, conf. ι 190, 191. — 540 ἔρδεϲκεν E 733, 23 L. ἀλωιὴν C, utroque spiritu. ἀλῳὴν Eust. 1240, 14. ἀλῳὴν Suidas I, 1, 242, 18. — 541 δένδρεα: δούρατα Max. Tyr. Diss. I, 3. — 542 αὐτῇϲι DEG Et. Mg. 584, 10. Apoll. Lex. 112, 20. Schol. Θ 24. αὐτῇ ϲοι ῥίζοιϲι Et. Gud. 385, 56. αὐτοῖϲιν ἄνθεϲι L. — 544 πολλῶν E. — 545 κε δάμη ADE 773, 58 H. γὰρ ἐδάμη E 770, 27. vulgo κ' ἐδάμη. βροτοῖϲι ACDEGH. — 546 τόϲϲον Cant. πυρῆϲ ἐπέθηκ' L. — 547 ἥδ' CHL. ἔθηκε E bis.

---

A. c. 534 ἀλῳῆϲ, conf. H. U. 212. — 537 ἢ λάθετ' ἢ οὐκ: ἐκλάθετ' οὐδ' Zenodotus. — 540 ἔρδεϲκεν: ἔρρεζεν Ammonius, non ἔρρεξεν (Schol. L.)

Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
ὄφρα μὲν οὖν Μελέαγρος ἀρηίφιλος πολέμιζε,
τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδὲ δύναντο
τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες·
ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
ἤ τοι ὁ μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ
κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ,
κούρῃ Μαρπήσσης καλλισφύρου Εὐηνίνης
Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν
τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος καλλισφύρου εἵνεκα νύμφης·
τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς
μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα
κλαῖ', ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων.
τῇ ὅ γε παρκατέλεκτο χόλον θυμαλγέα πέσσων,
ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
πόλλ' ἀχέους' ἠρᾶτο κασιγνήτοιο φόνοιο,
πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία
κικλήσκους' Ἀίδην καὶ ἐπαινὴν Περσεφόνειαν,
πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,

---

V. l. 549 κουρήτων τε AC. — 550 ἀρηΐφιλος A. πολέμιζε ACDEHL. πτολέμιζε G. — 551 τόφρα μὲν D. οὐδὲ δύναντο CE bis HS Cant. Townl. οὐδὲ ἐδύναντο G. οὐδ' ἐδύναντο ADL. — 552 ἔκτοσθε DE. — 554 οἰδαίνει G. στήθεσφι Apoll. Lex. 119, 24. — 555 ὁ ACDGHL. — 556 παρα A. — 557 μαρπήσσης ACDH Lips. Harl. Vrat. b. μαρπήσης Townl. μαρπίσσης EGLS. — 558 ἴδεω τε H. ὃς κάλλιστος HL. ἐπὶ χθονίων D. τράφεν ἀνδρῶν H. — 559 καὶ ῥὰ DG. ῥ' ἄνακτος Lips. τόξων G, ut videtur ex corr. — 562 ἂρ DEL. αὐτῇ ἡ αὐτῆς E. — 563 ἁλκυόνος A. οἶτον: οἶκτον H. — 564 κλαῖεν ὅ μιν L. ἀφήρπασε A et γρ. ἀνήρπασε. — 566 ἐξαρέων AD. ἢ ῥὰ DGL. θεοῖσι ACDEGHL. — 568 πολυφέρβην Schol. λ 423. — 569 ἐπαινὴν: αἰπεινὴν D Vrat. A, conf. 457. ἐπαινετὴν G e glossa. $\overset{φ}{π}$ερσεφόνειαν A. — 570 καθιζομένη S. κόλπ$\overset{οι}{ῳ}$ S.

---

A. c. 551 οὐδὲ δύναντο: οὐδ' ἐθέλεσκον Aristophanes. — 558 ὁ δ' Ἀντίμαχος τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ. Ὁμήρου γὰρ εἰπόντος „Ἴδεώ τ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν“ Ἀντίμαχος λέγει „Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν“ Eusebius Praepar. Evang. X, 3, 20. — 564 ὅτε: οὕτως Ζηνόδοτος χρονικῶς et ἀρίσταρχος κλαῖε ὅ μιν Didymus. — 567 Aristarchus κασιγνήτοιο: alii κασιγνητοῖο.

παιδὶ δόμεν θάνατον· τῆϲ δ' ἠεροφοῖτιϲ ἐρινὺϲ
ἔκλυεν ἐξ ἐρέβεϲφιν ἀμείλιχον ἦτορ ἔχουϲα·
τῶν δὲ τάχ' ἀμφὶ πύλαϲ ὅμαδοϲ καὶ δοῦποϲ ὀρώρει
πύργων βαλλομένων· τὸν δὲ λίϲϲοντο γέροντεϲ
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆαϲ ἀρίϲτουϲ,
ἐξελθεῖν καὶ ἀμῦναι, ὑποϲχόμενοι μέγα δῶρον·
ὁππόθι πιότατον πεδίον Καλυδῶνοϲ ἐραννῆϲ,
ἔνθά μιν ἤνωγον τέμενοϲ περικαλλὲϲ ἑλέϲθαι
πεντηκοντόγυον, τὸ μὲν ἥμιϲυ οἰνοπέδοιο,
ἥμιϲυ δὲ ψιλὴν ἄροϲιν πεδίοιο ταμέϲθαι.
πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺϲ
οὐδοῦ ἐπεμβεβαὼϲ ὑψηρεφέοϲ θαλάμοιο,
ϲείων κολλητὰϲ ϲανίδαϲ, γουνούμενοϲ υἱόν·
πολλὰ δὲ τόν γε καϲίγνηται καὶ πότνια μήτηρ
ἐλλίϲϲονθ'· ὁ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦϲαν ἁπάντων·
ἀλλ' οὐδ' ὧϲ τοῦ θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἔπειθον,
πρίν γ' ὅτε δὴ θάλαμοϲ πύκ' ἐβάλλετο, τοὶ δ' ἐπὶ πύργων
βαῖνον Κουρῆτεϲ καὶ ἐνέπρηθον μέγα ἄϲτυ.
καὶ τότε δὴ Μελέαγρον ἐΰζωνοϲ παράκοιτιϲ
λίϲϲετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα

---

V. L. 571 ἡεροφοίτηϲ G. ἱεροφοῖτϊϲ H. ἐρινὺϲ D post ras. H. ἐρινὺϲ CEG. ἐρῖνῦϲ A. ἐριννῦϲ L. — 572 ἐρέβευϲφιν ACDEGHLS et Heynii omnes. ἀμείλικτον CD. — 573 τῶνδε G. ἀμφι A. ὅμαδοϲ G. — 574 δὲ λίϲϲοντο ACS Cant. Harl. Lips. δ' ἐλίϲϲοντο DEH. δ' ἐλίϲοντο GL. — 576 ἀμύναι C. ὑπιϲχόμενοι Et. Mg. 783, 51, conf. ο 463. — 577 ἐρα||||||||νῆϲ C. ἐρανῆϲ D. — 578 ἔνθά μιν ACDL. ἀνώγεον G. περικαλὲϲ D. — 579 πεντηκοντόγυον A. πεντηκοντόγυιον D. οἰνοπέδιον Apoll. Lex. 153, 28. — 582 ἐπ" ἐμβεβαὼϲ A. ἐπεμβεβαὼϲ ἢ ὑπερβεβαὼϲ E. ὑψηρεφέοϲ A. ὑψιρεφέοϲ C. — 584 τόνγε ACDEH Harl. Lips. Mosc. 3. τόνδε HLS Schol. K 167. καϲιγνήτη Schol. K 167. — 585 ἐλλίϲονθ' D. ἐλίϲϲονθ' CHLS Lips. Harl. Schol. K 167. ἐλίϲϲοντο E. ὃ δὲ C. — 586 οἵ, οἱ AC. οἵ οἱ κήδιϲτοι L, conf. κ 225. — 587 ὡϲ A: ceteri ὧϲ. ἐνι D. — 588 πύκ' ἐβάλλετο ACDEL Harl. Townl. Vrat. b. A: vulgo πύκα βάλλετο. H πῦρ ἐβάλλετο. πύργῳ ἢ ἐπὶ πύργων Eust. 770, 36; 777, 2. — 590 εὔζωνοϲ H.

---

A. c. 574 οὕτωϲ Ἀρίϲταρχοϲ δὲ λίϲϲοντο (Cod. δ' ἐλίϲϲοντο) δι' ἑνὸϲ λ̄ Didymus. — 580 ψιλὴν: διὰ τοῦ ϲ̄, ψιλῆϲ γῆϲ. οὕτωϲ αἱ Ἀριϲτάρχου. δῆλον δὲ ὅτι ἐλλείπει ἡ εἰϲ, ἵν' ᾖ εἰϲ ἄροϲιν Didymus. — 584 καϲίγνηται Aristarchus: alii καϲίγνητοι.

κήδε᾽, ὅϲ᾽ ἀνθρώποιϲι πέλει τῶν ἄϲτυ ἁλώῃ·
ἄνδραϲ μὲν κτείνουϲι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ᾽ ἄλλοι ἄγουϲι βαθυζώνουϲ τε γυναῖκαϲ.
τοῦ δ᾽ ὠρίνετο θυμὸϲ ἀκούοντοϲ κακὰ ἔργα,
βῆ δ᾽ ἰέναι, χροῒ δ᾽ ἔντε᾽ ἐδύϲετο παμφανόωντα.
ὣϲ ὁ μὲν Αἰτωλοῖϲιν ἀπήμυνεν κακὸν ἦμαρ
εἴξαϲ ᾧ θυμῷ· τῷ δ᾽ οὐκέτι δῶρα τέλεϲϲαν
πολλά τε καὶ χαρίεντα, κακὸν δ᾽ ἤμυνε καὶ αὔτωϲ.
ἀλλὰ ϲὺ μή τοι ταῦτα νόει φρεϲί, μηδέ ϲε δαίμων
ἐνταῦθα τρέψειε, φίλοϲ· χαλεπὸν δέ κεν εἴη
νηυϲὶν καιομένῃϲιν ἀμυνέμεν· ἀλλ᾽ ἐπὶ δώροιϲ
ἔρχεο· ἶϲον γάρ ϲε θεῷ τίϲουϲιν Ἀχαιοί·
εἰ δέ κ᾽ ἄτερ δώρων πόλεμον φθιϲήνορα δύῃϲ,
οὐκέθ᾽ ὁμῶϲ τιμῆϲ ἔϲεαι πόλεμόν περ ἀλαλκών.
τὸν δ᾽ ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
Φοῖνιξ, ἄττα γεραιέ, διοτρεφέϲ, οὔ τί με ταύτηϲ
χρεὼ τιμῆϲ· φρονέω δὲ τετιμῆϲθαι Διὸϲ αἴϲῃ,
ἥ μ᾽ ἕξει παρὰ νηυϲὶ κορωνίϲιν, εἰϲ ὅ κ᾽ ἀυτμὴ
ἐν ϲτήθεϲϲι μένῃ καί μοι φίλα γούνατ᾽ ὀρώρῃ.
ἄλλο δέ τοι ἐρέω, ϲὺ δ᾽ ἐνὶ φρεϲὶ βάλλεο ϲῇϲι·

---

V. L. 592 κήδεα ὅϲϲ᾽ G. ἁλώῃ G. ἀλώηι A. ἁλῴη E bis, idem 1047, 18; 1268, 27. ἀλώη HL. ἁλώη CD. ὅϲϲα κάκ᾽ ἀνθρώποιϲι πέλει τῶν ἄϲτυ ἁλῴη Aristot. Rhet. I, 7. — 593 ἄνδραϲ μὲν κτείνουϲι: λαοὶ μὲν φθινύθουϲι Aristot. Rhet. I, 7, conf. Ζ 327. — 594 τὲ C. — 595 ὠρύνετο G. ὠρνύετο S. — 596 ἐδύϲετο CD Schol. N 191. ἐδύϲετο (α above ε) A. ἐδύϲατο GLS. ἐδύϲϲατο EH. — 597 ὡϲ A. ὃ μὲν C. ἀπήμυνε DEGH. — 598 δῶρα τέλεϲαν E: ceteri δῶρ᾽ ἐτέλεϲϲαν. — 599 ἄμυνε L. αὔτωϲ AE bis L Mor. οὔτωϲ H. — 600 μή μοι E. μὴ δέ ϲε ACDGHL. — 601 χαλεπὸν ADH: κάκιον CEGLS. γρ. κάκιον A. — 602 νηυϲὶ DEGH. ἐπι A. δώροιϲ ACD EGS: δώρων HL. — 603 ἴϲον D. — 604 δοίηϲ D 1. man. δύοιϲ Townl. — 605 τιμῆϲ ACDGHS. ἔϲϲεαι G. ἀλαλκῶν D. ἀνάλκων Lips. Vrat. A. — 606 ἀχιλεύϲ C. — 607 φοίνιξ DL. διοτροφὲϲ GH. οὔτε με L. — 608 διὸϲ μοίρᾳ G Mor. Barocc. e glossa. — 609 παρα A. κορωνῆϲιν G. εἰϲ ὅκ᾽ A. εἰϲόκεν DE. ceteri εἰϲόκ᾽. — 610 μένει D Vrat. c. μένει (οι above ει) L. καί με H. ὀρώρει D. Vrat. b. 2. man. ὀρώροι HL. ὀρώιρηι A. — 611 ἐνι AD. ϲῇϲι ACGH.

---

A. c. 594 δέ τ᾽ ἄλλοι: ὅτι Ζηνόδοτοϲ γράφει „τέκνα δὲ δήϊοι (δῆοι?) ἄγουϲι Aristonicus. — 602 δώροιϲ: ἀρίϲταρχοϲ ἐπὶ δώρων, ὅ ἐϲτι μετὰ δώρων Didymus. — 605 Aristarchus et Chaeris τιμῆϲ: alii τιμῇϲ pro τιμήειϲ. scripsi cum Aristarcho et libris τιμῆϲ, sed ita, ut non pro genitivo nominis τιμή habeam, sed pro nominativo adiectivi τιμήειϲ, quod si contrahitur non habet ἰῶτα προϲγεγραμμένον, conf. H. U. 221.

μή μοι ϲύγχει θυμὸν ὀδυρόμενοϲ καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωι φέρων χάριν· οὐδέ τί ϲε χρὴ
τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι ϲὺν ἐμοὶ τὸν κήδειν, ὅϲ κ᾽ ἐμὲ κήδῃ.
ἶϲον ἐμοὶ βαϲίλευε καὶ ἥμιϲυ μείρεο τιμῆϲ.
οὗτοι δ᾽ ἀγγελέουϲι, ϲὺ δ᾽ αὐτόθι λέξεο μίμνων
εὐνῇ ἔνι μαλακῇ· ἅμα δ᾽ ἠοῖ φαινομένηφι
φραϲϲόμεθ᾽ ἤ κε νεώμεθ᾽ ἐφ᾽ ἡμέτερ᾽, ἦ κε μένωμεν.
ἦ, καὶ Πατρόκλῳ ὅ γ᾽ ἐπ᾽ ὀφρύϲι νεῦϲε ϲιωπῇ
Φοίνικι ϲτορέϲαι πυκινὸν λέχοϲ, ὄφρα τάχιϲτα
ἐκ κλιϲίηϲ νόϲτοιο μεδοίατο. τοῖϲι δ᾽ ἄρ᾽ Αἴαϲ
ἀντίθεοϲ Τελαμωνιάδηϲ μετὰ μῦθον ἔειπε·
διογενὲϲ Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυϲϲεῦ,
ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
τῇδέ γ᾽ ὁδῷ κρανέεϲθαι· ἀπαγγεῖλαι δὲ τάχιϲτα
χρὴ μῦθον Δαναοῖϲι καὶ οὐκ ἀγαθόν περ ἐόντα,
οἵ που νῦν ἕαται ποτιδέγμενοι. αὐτὰρ Ἀχιλλεὺϲ
ἄγριον ἐν ϲτήθεϲϲι θέτο μεγαλήτορα θυμόν,
ϲχέτλιοϲ, οὐδὲ μετατρέπεται φιλότητοϲ ἑταίρων
τῆϲ, ᾗ μιν παρὰ νηυϲὶν ἐτίομεν ἔξοχον ἄλλων,
νηλήϲ· καὶ μέν τίϲ τε καϲιγνήτοιο φονῆοϲ
ποινὴν ἢ οὗ παιδὸϲ ἐδέξατο τεθνηῶτοϲ·

---

V. l. 612 ϲύγχη Townl. ὀδυρόμενοϲ καὶ ἀχεύων (ita libri omnes) ἢ καὶ ἄλλωϲ μή μοι ϲύγχει θυμὸν ἐνὶ ϲτήθεϲϲιν ἀχεύων Eust. 778, 12. — 613 οὐδέ τι ϲε χρὴ ACDGHL. — 614 ἀπέχθηιαι D. ἀπέχθῃ G. — 615 ὅϲ κέ με AES Cant. Vrat. b. Et. Mg. 509, 29. Apoll. Lex. 98, 29. ὅϲ κε με G. ὃϲ κέ με CH. ὥϲ κέ με L. κήδει DHS Cant. Vrat. b. 1. man. Et. Mg. 509, 29. Apoll. Lex. 98, 29. κήδει[η] L. — 618 ἔνι Schol. A 436. ἐνι AD. ἐνὶ CDGHL Zonar. Lex. 909. Et. Mg. 393, 54. δ᾽ omitt. H. φαινομένηφι ADL: φαινομένῃφι CEGH. — 619 ἠὲ μένωμεν G Cant. Mor. ἠ[κ]|||ὲ μένωμεν A. — 622 ἄρ DGL. ἀρ A. — 623 μετα ACL. ἔειπε A. — 625 τελευτὴν S. — 626 τῆ δέ θ᾽ ὁδῷ G. τῆιδ᾽ ὁδῶι C. — 627 post hunc εἰπέμεν ἀτρείδηϲ ἀγαμέμνονι καὶ μενελάῳ G(ἀτρ̊είδῃ)S Cant. Barocc. Mor. Vrat. A, conf. H 373. — 628 ἕαται AD. εἵαται C. προτιδέγμενοι D. ἀχιλεύϲ C. — 631 ἥν μιν L. — 632 νηλίϲ G. καί κέν τίϲ Schol. Ω 694. φονῆοϲ[οιο] A. φόνοιο CDE bis GHLS. — 633 τεθνηῶτοϲ L Vrat. b. τεθνει[ηι]ῶτοϲ A. τεθνειῶτοϲ CDEGHS Schol. Soph. El. 210. Suidas II, 2, 537, 12.

---

A. c. 612 ἀρίϲταρχοϲ ἐνὶ ϲτήθεϲϲιν ἀχεύων Didymus. ὀδυρόμενοϲ κινυρίζων Zenodotus. — 614 μή μοι: μὴ μοὶ Ptolemaeus Ascalonita. — 632 τίϲ τε: ἀρίϲταρχοϲ διὰ τοῦ γε̅ Didymus. φονῆοϲ Aristarchus, non φόνοιο, ut 567. — 633 τεθνειῶτοϲ: διὰ τοῦ η̅ αἱ ἀριϲτάρχου Didymus.

καί ῥ' ὃ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίϲαϲ,
τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸϲ ἀγήνωρ
ποινὴν δεξαμένῳ. ϲοὶ δ' ἄληκτόν τε κακόν τε
θυμὸν ἐνὶ ϲτήθεϲϲι θεοὶ θέϲαν εἵνεκα κούρηϲ
οἴηϲ. νῦν δέ τοι ἑπτὰ παρίϲχομεν ἔξοχ' ἀρίϲταϲ,
ἄλλά τε πόλλ' ἐπὶ τῇϲι· ϲὺ δ' ἵλαον ἔνθεο θυμόν,
αἴδεϲϲαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοί εἰμεν
πληθύοϲ ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
κήδιϲτοί τ' ἔμεναι καὶ φίλτατοι, ὅϲϲοι Ἀχαιοί.
τὸν δ' ἀπαμειβόμενοϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
Αἶαν διογενέϲ, Τελαμώνιε, κοίρανε λαῶν,
πάντά τί μοι κατὰ θυμὸν ἐείϲω μυθήϲαϲθαι·
ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνων
μνήϲομαι, ὥϲ μ' ἀϲύφηλον ἐν Ἀργείοιϲιν ἔρεξεν
Ἀτρείδηϲ, ὡϲ εἴ τιν' ἀτίμητον μετανάϲτην.
ἀλλ' ὑμεῖϲ ἔρχεϲθε καὶ ἀγγελίην ἀπόφαϲθε·
οὐ γὰρ πρὶν πολέμοιο μεδήϲομαι αἱματόεντοϲ,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονοϲ, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλιϲίαϲ καὶ νῆαϲ ἱκέϲθαι
κτείνοντ' Ἀργείουϲ, κατά τε ϲμῦξαι πυρὶ νῆαϲ.

---

V. L. 634 ὃ μὲν C. ἀλλ' ὁ μὲν Schol. Soph. El. 210. — 635 τοῦ δέ τ': τοῦδ' ἔτ' GL. τοῦδ' D. — 636 δεξαμένῳ AC 1. man.-D 1. man. H Schol. Soph. El. 210: vulgo δεξαμένου. ἄληκτόν CDGH. — 637 ἔνι AD. ἐν E. οὕνεκα C. — 638 παρέϲχομεν L. — 639 ἄλλά τε ACH. ἔπι A. τοῖϲι L. ἶλαον A. — 640 αἴδεϲθαι S. ὑποροφιοι G. δέ τοι εἰμὲν ACDEL. δέ τοι εἶμεν H. δέ τοι ἐϲμὲν G. — 642 κήδεϲτοι Vrat. A. κύδιϲτοι Schol.
η
ε 310. κύδιϲτοι Lips. ὅϲοι D. — 644 κοίραν' ἀχαιῶν G Mor. — 645 πάντα δή μοι H. ἐείϲω ACDGHS Cant. Mor. Barocc. Townl. Lips. Vrat. b. c. A. Mosc. 3. Plato Cratyl. 428 C: ἐείϲαο E bis L. — 646 κραδίηι A. ὁππότ' ἐκείνων ADHL Et. Mg. 824, 32. ὁππότε κείνων CE Cant. Harl. ὁππότ' ἐκείνου G Mor. Pseudoplut. 136, 19. — 647 ὥϲ μ' libri: ὅϲ μ' Et. Mg. 160, 36. Et. Gud. 87, 29. Pseudoplut. 136, 19. ἔρεξεν: ἔθηκε Et. Gud. 582, 19. — 648 ὡϲ εἴ D: ceteri ὡϲεί. — 653 ϲμύξαι ACE bis Et. Gud. 266, 47. Schol. Λ 666. ϲμίξαι G. ϲμῦξαι DH Plato Hipp. min. 371 C. Schol. Apoll. Rhod. III, 762. Cram. An. Ox. II, 447, 22. καὶ ἐπιϲμύξαι Schol. γ 195. ἀργείουϲ τε καταϲμύξαι L. γρ. ὅτι καὶ κατά τε φλέξαι A.

---

A. c. 636 δεξαμένῳ, conf. Κ 187, Ξ 139, ψ 205. — 639 οὕτωϲ ἐπὶ τῇϲι ἐν ἁπάϲαιϲ Didymus. — 641 ὅτι Ζηνόδοτοϲ γράφει ἀθρόοι ἐκ Δαναῶν Aristonicus. — 645 ἐείϲω: ἔν τιϲι τῶν ὑπομνημάτων διῃρημένωϲ ἐείϲαο Didymus, conf. ἐπεφράϲω Φ 410, ἐκρέμω Ο 18, 21, ἐκτήϲω ω 193. — 653 οὕτωϲ ϲμύξαι Ἀρίϲταρχοϲ· οἶδε [δὲ] καὶ τὴν φλέξαι γραφὴν Didymus.

ἀμφὶ δέ τοι τῇ ἐμῇ κλισίῃ καὶ νηὶ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀίω.
ὣς ἔφαθ᾽, οἳ δὲ ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον
σπείσαντες παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ᾽ Ὀδυσσεύς.
Πάτροκλος δ᾽ ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
αἳ δ᾽ ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε,
κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον.
ἔνθ᾽ ὁ γέρων κατέλεκτο καὶ ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης ἐυπήκτου·
τῷ δ᾽ ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε,
Φόρβαντος θυγάτηρ, Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ᾽ ἑτέρωθεν ἐλέξατο· πὰρ δ᾽ ἄρα καὶ τῷ
Ἶφις ἐύζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον.
οἳ δ᾽ ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
δειδέχατ᾽ ἄλλοθεν ἄλλος ἀνασταδὸν ἔκ τ᾽ ἐρέοντο·
πρῶτος δ᾽ ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
εἴπ᾽ ἄγε μ᾽ ὦ πολύαιν᾽ Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
ἤ ῥ᾽ ἐθέλει νήεσσιν ἀλεξέμεναι δήιον πῦρ,
ἦ ἀπέειπε, χόλος δ᾽ ἔτ᾽ ἔχει μεγαλήτορα θυμόν;
τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·

V. l. 654 ἀμφι D. δέ τοι: δέ μιν Plato Hipp. min. 371 C. τῇ ᾽μῆι A. τῇ μῆι D. τῇ ᾽μῇ CEG Plato Hipp. min. 371 C. Cram. An. Par. III, 380, 22. τῇ ᾽μῇ L. τῇ μῇ S. τῇμῇ Apoll. de Synt. 126, 19. τὴμῇ Et. Mg. 757, 25. Schol. N 817. τημῇ Zonar. Lex. 1728. τ᾽ ἠμῇ H. — 655 μάχη, σχήσεσθαι L. σχήσασθαι G. — 656 ὦς A. οἳ δὲ C. οἵδ᾽ GL. — 658 ἠδὲ H δμωιῇσι A. δμωῖσι L. κέλευσε ACG. κέλευε E. ceteri κέλευσεν. — 659, 660 omitt. G et pro his in margine habet στίχος φοίνικϊ στορέσαι πυκινὸν λέχος ὡς ἐκέλευσε. — 660 αἳ δ᾽ D. αἵδ᾽ CL. ὦς S. ἐκέλευσε ACDH. ἐκέλευεν et ἐκέλευε E. ἐκέλευε Vrat. A. — 662 δίαν DH. ἔμιμνε H. — 663 ἀχϊλεὺς C. ἐϋπήκτου CGH: εὐπήκτου ADEL. — 664 ἦγε ACEGH. — 665 καλλιπάρῃος EHL: ceteri καλλιπάρηος. — 666 παρ C. — 667 εὔζωνος GHL. τὴν οἳ G. ἀχϊλεύς C. — 668 σκύρρον L. — 669 οἳ δ᾽ CHL. κλισίῃσιν CG. κλισίῃς HL. κλισίην AD, conf. H 313. — 673 εἶπ᾽ CD. εἰπ᾽ A. ὀδυσσεῦ DGH. — 674 ἐθέλῃ Vrat. b. ἀλεξέμεναι ACDGH Harl. Townl. Vrat. b. A. ἀμυνέμεναι ELS. — 675 δ᾽ ἔτ᾽ AEG: δέ τ᾽ CDHL. — 676 προσέειπεν D.

A. c. 654 τῇ ἐμῇ, conf. H. U. 287. — 657 σπείσαντες: ἐν τῇ ἑτέρᾳ τῶν Ἀριστάρχου λείψαντες, καὶ ἐν πολλαῖς τῶν ἀρχαίων Didymus. — 660 ὡς ἐκέλευσε: Ζηνόδοτος ἐγκονέουσαι Schol. L. — 664 Zenodotus τῷ δὲ γυνὴ παρέλεκτο Κάειρ᾽, ἣν Λεσβόθεν ἦγε.

Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
κεῖνόϲ γ' οὐκ ἐθέλει ϲβέϲϲαι χόλον, ἀλλ' ἔτι μᾶλλον
πιμπλάνεται μένεοϲ, ϲὲ δ' ἀναίνεται ἠδὲ ϲὰ δῶρα.
αὐτόν ϲε φράζεϲθαι ἐν Ἀργείοιϲιν ἄνωγεν,
ὅππωϲ κεν νῆάϲ τε ϲόῳϲ καὶ λαὸν Ἀχαιῶν.
αὐτὸϲ δ' ἠπείληϲεν ἅμ' ἠοῖ φαινομένηφι
νῆαϲ ἐυϲϲέλμουϲ ἅλα δ' ἑλκέμεν ἀμφιελίϲϲαϲ.
καὶ δ' ἂν τοῖϲ ἄλλοιϲιν ἔφη παραμυθήϲαϲθαι
οἴκαδ' ἀποπλείειν, ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆϲ· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺϲ
χεῖρα ἑὴν ὑπερέϲχε, τεθαρϲήκαϲι δὲ λαοί.
ὣϲ ἔφατ'· εἰϲὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴαϲ καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣϲ γὰρ ἀνώγει,
ὄφρά οἱ ἐν νήεϲϲι φίλην ἐϲ πατρίδ' ἕπηται
αὔριον, ἢν ἐθέληϲιν· ἀνάγκη δ' οὔ τί μιν ἄξει.
   ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ
μῦθον ἀγαϲϲάμενοι· μάλα γὰρ κρατερῶϲ ἀγόρευϲε.
δὴν δ' ἄνεῳ ἦϲαν τετιηότεϲ υἷεϲ Ἀχαιῶν·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸϲ Διομήδηϲ·
   Ἀτρείδη κύδιϲτε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,

---

V. L. 678 οὐ θέλει G. ϲβέϲαι CDEGH. — 680 αὐτόν ϲε CDLS Apoll. de Synt. 138, 8: αὐτὸν ϲὲ AGH. — 681 ϲόῳϲ: ϲόηϲ AH Cant. Lips. Townl. Vrat. a. b. A. ϲόηϲ CLS. ϲώιηιϲ D 1. man. ϲώηιϲ D 2. man. ϲόοιϲ Vrat. c. Mosc. 3. ϲώϲηϲ G Mor. Barocc. — 682 φαινομένηφι ADL. φαινομένηφι CEGH. — 683 ἐϋϲέλμουϲ CDEGH. ἑλξέμεν L. — 685 δήεται DH. — 686 γὰρ ἔθεν CDGHL. — 688 ὡϲ A. γρ. εἶϲι C man. rec. οἶδε A. εἰϲὶ δὲ οἵδε Lips. — 689 κήρυκεϲ H. — 690 φοίνιξ D. παρελέξατο G. ὡϲ A. — 691 ὄφρά οἱ ACDHL. ὄφρα οἳ G. — 692 οὔτι μὴν D. μὶν G. — 693 ὡϲ A. οἳ δ' L. οἵδ' CG. — 694 ἀγόρευϲε AH. ἀγόρευϲεν DEL. ἀγόρευε C Harl. Vrat. A. ἀπέειπε G Cant. Barocc. Mor. ἀπόειπεν S. — 695 ἄνεῳ AEGLS Et. Mg. 266, 9.

---

A. c. 680 αὐτόν ϲε Herodianus cum Apollonio: αὐτὸν ϲὲ Ptolemaeus Ascalonita. — 681 Ἀρίϲταρχοϲ ϲοῷϲ καὶ ϲαῷϲ Didymus, conf. Herod. ad Ι 393. — 688-692 ἀθετοῦνται Aristonicus. τούτουϲ τοὺϲ ϲτίχουϲ Ἀριϲτοφάνηϲ ἠθέτει, Ζηνόδοτοϲ τὸν αὔριον (692) μόνον Didymus. — 694 Ζηνόδοτοϲ μὲν οὐ γράφει, Ἀρίϲταρχοϲ δὲ ἀθετεῖ Schol. A. Ζηνόδοτοϲ δὲ τὸν ϲτίχον οὐκ ἔγραφεν, Ἀριϲτοφάνηϲ δὲ ἠθέτει Didymus. ἀγαϲϲάμενοι: γράφεται καὶ φραϲϲάμενοι, conf. Schol. Θ 29. — 698 μή: διὰ τοῦ δ̄ οὕτωϲ ἀρίϲταρχοϲ μηδ' ὄφελεϲ Didymus.

μὴ ὄφελες λίϲϲεϲθαι ἀμύμονα Πηλείωνα,
μυρία δῶρα διδούϲ· ὃ δ' ἀγήνωρ ἐϲτὶ καὶ ἄλλωϲ·
νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃϲιν ἐνῆκαϲ.
ἀλλ' ἦ τοι κεῖνον μὲν ἐάϲομεν, ἤ κεν ἴῃϲιν,
ἤ κε μένῃ· τότε δ' αὖτε μαχήϲεται, ὁππότε κέν μιν
θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν ἀνώγῃ καὶ θεὸϲ ὄρϲῃ.
ἀλλ' ἄγεθ', ὡϲ ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντεϲ·
νῦν μὲν κοιμήϲαϲθε τεταρπόμενοι φίλον ἦτορ
ϲίτου καὶ οἴνοιο· τὸ γὰρ μένοϲ ἐϲτὶ καὶ ἀλκή·
αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλοϲ ἠώϲ,
καρπαλίμωϲ πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππουϲ
ὀτρύνων, καὶ δ' αὐτὸϲ ἐνὶ πρώτοιϲι μάχεϲθαι.
ὣϲ ἔφαθ', οἳ δ' ἄρα πάντεϲ ἐπήνηϲαν βαϲιλῆεϲ,
μῦθον ἀγαϲϲάμενοι Διομήδεοϲ ἱπποδάμοιο.
καὶ τότε δὴ ϲπείϲαντεϲ ἔβαν κλιϲίην δὲ ἕκαϲτοϲ,
ἔνθα δὲ κοιμήϲαντο καὶ ὕπνου δῶρον ἕλοντο.

## ΙΛΙΑΔΟϹ Κ.

Ἄλλοι μὲν παρὰ νηυϲὶν ἀριϲτῆεϲ Παναχαιῶν
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·

V. l. 698 μὴ ὄφελεϲ AEHLS Schol. Aristoph. Nub. 41. Schol. Eurip. Med. 1. Et. Mg. 586, 18. Et. Gud. 390, 18. Zonar. Lex. 1490. Schol. Ι 63, Π 25, 74, 76. Apoll. Lex. 7, 17. Cram. An. Ox. II, 431, 5. μὴ ὤφελεϲ D Eust. 1046, 17. μὴ δ' ὄφελεϲ C. μηδ' ὄφελεϲ G. ἀμύμονα Πηλείωνα: ἀμύμονοϲ Αἰακίδαο Schol. Aristoph. Nub. 41. — 699 ὃ δ' D. ὅδ' GHL. ἄλλωϲ: γρ. καὶ αὔτωϲ A. — 703 ἔνι D. ϲτήθεϲϲιν ἀνώγῃ: ἀνώγει Townl. Vrat. c. Mosc. 3. ϲτήθεϲϲιν ὀρίνῃ E. ϲτήθεϲϲι κελεύοι L. — 704 ἐγὼ CD GHLS et Heynii omnes. — 707 ῥοδοδάκτυλοϲ A. ἠώϲ D. — 708 προ AD. — 709 ἔνι AD. ἐν C. — 710 ὡϲ A. οἵδ' CGHL. ἐπήνηϲαν ACEL Harl. Vrat. b. ἐπήνεϲαν DGHS. — 712 κλιϲίην δὲ D. κλιϲίηνδ' E. κλιϲίηθεν C et man. rec. γρ. κλιϲίηνδε. — 713 ἔνθαδε D. ἐνθάδε G.

A. c. 700 ἐνῆκαϲ: ἔν τιϲι τῶν ὑπομνημάτων διὰ τοῦ ᾱ ἀνῆκαϲ Didymus.

V. l. 1 ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεϲ [ἱπποκορυϲταὶ] Aristoteles Poet. 25. παναχαιῶν A.

A. c. Φαϲὶ τὴν ῥαψῳδίαν ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ εἶναι μέροϲ Ἰλιάδοϲ, ὑπὸ δὲ Πειϲιϲτράτου τετάχθαι εἰϲ τὴν ποίηϲιν Schol. V. φαϲὶ δὲ οἱ παλαιοὶ τὴν ῥαψῳδίαν ταύτην ὑφ' Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ ἐγκαταλεγῆναι τοῖϲ μέρεϲι τῆϲ Ἰλιάδοϲ, ὑπὸ δὲ Πειϲιϲτράτου τετάχθαι εἰϲ τὴν ποίηϲιν Eust. 785, 41. conf. H. T. 12. — 1 ἄλλοι: ὦλλοι Zenodotus, conf. ad B 1.